


Digitized by Google



LECTIONES GRÆCÆ,

SIVE

MANU-DUCTIO HISPANAE JUVENTUTIS
IN
LINGUAM GRAECAM.

Composuit, concinnavit atque αὐτόχειρ typis expressit Doctor Lázarus Bardon et Gomez, Græcarum Litterarum in Matritensi Gymnasio professor ordinarius.

MATRITI. MDCCCLVI.

VIRO EXCELLENTISSIMO

ET PERITISSIMO


D. JOACHIMO GOMEZ DE LA CORTINA
MARCHIONI DE MORANTE DOCTORI
JURISCONSULTO ATQUE ARDENTISSIMO
BIBLIOPHILO

HUNC LIBRUM

SUMMA CUM VENERATIONE

D. D. D.

AUCTOR.



PRAEFATIO.

Cyrus ille minor, praestantissimus Persarum Imperator, Graeco Lysandro, quùm à sociis dona ferens ad eum venisset, inter alias comitatis et benevolentiae significationes, etiam hortum, qui Sardibus est, ipsemet ostendisse dicitur. Lysandrum verò admirantem arborum pulchritudinem, quòd aequaliter essent omnes consitae, quòd ordines earum recti, quòd angulis rectis dispositae omnes, et quòd odores multi ac suavissimi obambulantes ipsos comitarentur; dixisse, suspicere se multò tamen magis solertiam ejus, à quo illa dimensa et descripta essent. Cyrum autem ei respondisse: «Atqui omnia haec, mi Lysander, ego dimensus sum: mei sunt ordines, mea descriptio: multae etiam istarum arborum mea manu sunt satae».

Sic ego, Benevole Lector, hunc fasciculum, longe antehac confectum, in quo totius Græciae scriptorum flores et fructus suavissimi continentur, etiamsi non rectè et ordinatè collegerim, magna tamen patientia et constantia elaboravi. Deside-

rabantur typi graeci, neque aderant typothetae periti, ut hic miserculus liber Matriti typis excuderetur. Typos graecos Lutetiae Parisiorum per Sebastianum de Araujo et Urbina, virum optimae indolis, et amicum fidelissimum, qui tunc ibi degebat, acquisivi; prelum typographicum postea magnis sumptibus, pro viribus meis, comparavi; artem denique typographicam didici. Itaque ego ipse hujus libri auctor, ego typothetes, atque propriis manibus ipse prelo commisi. Nonne igitur dicere etiam ego possum: «Atqui omnia haec ego dimensus sum: mei sunt ordines, mea descriptio: multæ etiam istarum arborum mea manu sunt satæ?»

¡Utinam Hispanam juventutem ad litteras græcas allicere possem, quòd ego semper in votis habui!

Scr. Matriti XVI Kal. Jan. a. MDCCCLVII.

Lázarus Bardon et Gomez.

ELENCHUS.

SCRIPTORES. TITULI. Pag.

ELENCHUS.

ELENCHUS.

ELENCHUS.

ELENCHUS.



CORRIGENDA.


Pag.	lin.	dicit	lege
20	9	πτήνη	κτήνη
29	21	ἀπὸ τοὺ	ἀπὸ τοῦ
30	5	ἑπικατάρατος	ἐπικατάρατος
31	17	ῥομφαίαμ	ῥομφαίαν
34	14	ἐφρειν	φέρειν
35	14	τροςήνεγκε	προςήνεγκε
43	20	Συναίρεσις. . .	Συναίρεσις μέν

ἐστι δύο φωνηέντων φυλαττομένων συναλοιφή· οἷον Δημοσθένεϊ, ει. Κράσις δέ ἐστι δύο φωνηέντων μεταβαλλομένων συναλοιφή· οἷον Δημοσθένεα, η· ἢ τοῦ ἑνὸς, οἷον Δημοσθένεος, ους.

46	19	διαφέρων	διαφέρον
51	1	Πᾶν δὲ. . .	Πᾶν δὲ πατρω-

νυμικὸν παραλήγει, ἢ ι, οἷον Κρονίδης, ἢ ει διφθόγγῳ, οἷον Σηλείδης, ἢ α, οἷον Αἰνειάδης, ἢ οι διφθόγγῳ, οἷον Πανθοίδης.

61	9	ἔχιστος	ἔχθιστος
86	8	καὶ εἵτις	καὶ εἴ τις
99	7	ἄφονον	ἄφωνον
221	7	πρό ερον	πρότερον



ΧΕΙΡΑΓΩΓΙΑ

ΤΗΣ ʽΙΣΠΑΝΙΚΗΣ ΝΕΟΤΗΤΟΣ ʼΕΠΙ ΤΗΝ ΓΛΩΣΣΑΝ ΤΩΝ ʽΕΛΛΗΝΩΝ.

LIBER PRIMUS.

CAPUT I. De litterarum divisione.

1. Περὶ διαιρέσεως τῶν γραμμάτων. Γράμμα ἐστὶ μέρος ἐλάχιστον καὶ ἀδιαίρετον φωνῆς· εἰσὶ δὲ γράμματα εἴκοσι τέσσαρα· α, β, γ, δ, ε, ζ, η, θ, ι, κ, λ, μ, ν, ξ, ο, π, ρ, σ, τ, υ, φ, χ, ψ, ω. Τούτων φωνήεντα μὲν ἑπτά· α, ε (ψιλὸν), η, ι, ο (μικρὸν), ω (μέγα), καὶ υ (ψιλόν)· σύμφωνα δὲ δεκαεπτά· β, γ, δ, ζ, θ, κ, λ, μ, ν, ξ, π, ρ, σ, τ, φ, χ, ψ. Τῶν δὲ φωνηέντων μακρὰ μὲν δύο· η καὶ ω (μέγα). Βραχέα δὲ δύο· ε (ψιλὸν) καὶ ο (μικρὸν). Δίχρονα δὲ τρία· α, ι, υ. Ἐξ ὧν δίφθογγοι κυρίως μὲν ἓξ γίνονται· αι, ει, οι, αυ ευ, ου· ἓξ δὲ καταχρηστικῶς· ᾳ, ῃ, ῳ, υι, ηυ,

ωυ. Τῶν δὲ συμφώνων ἄφωνα μὲν ἐννέα· κ, τ, π· γ, δ, β· χ, θ, φ· ὧν ψιλὰ μὲν τρία· κ, τ, π· μέσα δὲ τρία· γ, δ, β· δασέα δὲ τρία· χ, θ, φ· ἡμίφωνα δὲ ὀκτώ· λ, μ, ν, ρ· σ, ξ, ζ, ψ· ὧν ἀμετάβολα μὲν τέσσαρα· λ, μ, ν, ρ· διπλᾶ δὲ τρία· ξ, ζ, ψ. Ἐκ τῶν διηρημένων δὲ τῶνδε γραμμάτων αἱ συλλαβαὶ γίνονται· οἷον Πέ· ὅθεν αἱ λέξεις, οἷον Πέτρος· ἐξ ὧν ὁ λόγος· οἷον ὁ Πέτρος ἀναγινόσκει.

De syllaba.

2. Περὶ συλλαβῆς. Συλλαβὴ ἐστὶ σύλληψις τοὐλάχιστον δύο γραμμάτων· καταχρηστικῶς δὲ καὶ τὰ φωνήεντα συλλαβαὶ λέγονται. Διαιρεῖται δὲ ἡ συλλαβὴ εἰς τρία· εἰς μακρὰν, οἷον ἥρως· εἰς βραχεῖαν, οἷον λόγος· εἰς κοινὴν, οἷον ἄρης.

De accentibus.

3. Περὶ προσῳδιῶν. Προσῳδία ἐστὶ τάσις ἐγγραμμάτου φωνῆς, ἢ τόνος πρὸς ὃν ᾄδομεν. Εἰσὶ δὲ προσῳδίαι δέκα· ὀξεῖα (´), βαρεῖα (`), περισπωμένη (῀)· μακρὰ (¯), βραχεῖα (˘)· ψιλὴ (᾿), δασεῖα (῾)· ἀπόστροφος (’), ὑφ-

ἐν (-), καὶ ὑποδιαστολή (,). Καὶ διαιροῦνται εἰς τέσσαρα· εἰς τόνους, εἰς χρονόυς, εἰς πνεύματα, καὶ εἰς πάθη.

Τόνοι εἰσὶ τρεῖς, ὀξεῖα, βαρεῖα, καὶ περισπωμένη, οἷς χρώμεθα ἐπὶ ταῖς λέξεσι. Πᾶσα γὰρ λέξις ἐπιδέχεται τόνον ἕνα, ἢ ἐν τῇ ληγούσῃ ἢ παραληγούσῃ, ἢ προπαραληγούσῃ. Ἐν μὲν τῇ ληγούσῃ ἐπιδέχεται ὀξεῖαν, βαρεῖαν, καὶ περισπωμένην· ὀξεῖαν, ὅταν τὸ δεχόμενον ᾖ ἀσυναίρετον, οἷον θεατής, ἀγαθός· βαρεῖαν δὲ ὁμοίως, ὡς ἐλαὼν, δαφνὼν, καὶ μάλιστα ἐν τῇ συνεπείᾳ· πᾶσα γὰρ ὀνομαστικὴ καὶ αἰτιατικὴ ἀσυναίρετος καθ' ἑαυτὴν ὀξύνεται· ἐν δὲ τῇ συνεπείᾳ ἀντὶ τῆς ὀξείας βαρεῖαν ἐπιδέχεται. Περισπωμένην δὲ ὅταν τὸ δεχόμενον ᾖ μακρὸν ἀπὸ συναιρέσεως, οἷον ἀπὸ τοῦ φάος φῶς, καὶ ἀπὸ τοῦ Ξενοφάον Ξενοφῶν· πᾶσα γὰρ συναίρεσις ἐξ ὀξείας καὶ βαρείας περισπωμένην ποιεῖ. Ἐν τῇ παραληγούσῃ δὲ ὀξεῖαν καὶ περισπωμένην· ὀξεῖαν μὲν ὅταν ἢ τὸ δεχόμενον ᾖ βραχὺ, ὡς λάχης, λόγος· ἐπάνω γὰρ βραχέος περισπωμένη οὐ τίθεται· ἢ ὅταν τὸ δεχόμενον μακρὸν, καὶ τὸ μετ' αὐτὸ μακρὸν, ὡς Αἰνείας, Χρύσης, μακρὸν γὰρ πρὸ μακροῦ παρ-

οξύνεται· ἢ ὅταν ᾖ θέσει μακρὸν, οἷον πέρσης· ἐπάνω γὰρ θέσει μακροῦ περισπωμένη οὐ τίθεται.

Περισπωμένη δὲ ὅταν τὸ δεχόμενον ᾖ φύσει μακρὸν καὶ τὸ μετὰ αὐτὸ βραχὺ, οἷον Μαῖα, γᾶα, μοῦσα· πᾶν γὰρ φύσει μακρὸν πρὸ βραχέος κείμενον περισπᾶται· ἔτι καὶ εἰ ἀπὸ συναιρέσεως μακρὸν εἴη, οἷον βοᾶται, ποιεῖται. Ἐν τῇ προπαραληγούσῃ δὲ ἀεὶ ὀξεῖαν τίθεμεν, ὡς φιλόσοφος, φιλόκαλος· πρὸ δύο γὰρ συλλαβῶν ἀεὶ ὀξεῖα τίθεται.

Εἰς χρόνους μακρὰν καὶ βαρεῖαν· οἷς ἐχρῶντο οἱ παλαιοὶ ἐπὶ τοῖς διχρόνοις ὡς σημείοις δηλοῦντες τὸ μακρὸν καὶ τὸ βραχὺ, οἷον ὀρῖνω, ἄκρἴτος.

Εἰς πνεύματα δασεῖαν καὶ ψιλήν· οἷς χρώμεθα ἐπὶ τῶν φωνηέντων καὶ διφθόγγων, πᾶσα γὰρ λέξις ἀπὸ φωνήεντος ἢ διφθόγγου ἀρχομένη ἢ ψιλοῦται ἢ δασύνεται. Πότε δὲ τοῦτο γίνεται, ἐν τῷ περὶ πνευμάτων βιβλίῳ Γεωργίου τοῦ Χοιροβοσκοῦ ζητητέον. Δασύνεται δὲ καὶ τὸ ρ ἐν ἀρχῇ λέξεως, οἷον ῥήτωρ ῥητορική· δυοῖν δὲ ὄντοιν, ὅπου ἂν τύχωσι, τὸ πρῶτον ψιλοῦται, καὶ τὸ δεύτερον δασύνεται κατὰ τοὺς παλαιοὺς, οἷον ἄῤῥωστος.

Εἰς πάθη, ἀπόστροφον, ὑφὲν, καὶ ὑποδιαστολήν. Χρώμεθα δὲ τῇ ἀποστρόφῳ ἐν τοῖς πάθεσι τῶν λέξεων ἐν τέλει, ἑπομένου φωνήεντος, ἀντὶ τεσσάρων γραμμάτων· ἀντὶ βραχέος α, οἷον ἄρ' οὗτος, ἀντὶ ἄρα οὗτος· ἀντὶ ε, οἷον φέρ' εἰπὲ, ἀντὶ φέρε εἰπέ· ἀντὶ ο, οἷον τοῦτ' ἐμὸν, ἀντὶ τοῦτο ἐμόν· ἀντὶ βραχέος ι, οἷον ἐπ' ἀκταῖς, ἀντὶ ἐπὶ ἀκταῖς. Οἱ ποιηταὶ δὲ καὶ ἀντὶ αι καὶ οι διφθόγγου ταύτῃ χρῶνται, οἷον βούλομ' ἐγὼ, καὶ οἴμ' ὡς ἄχθομαι.

Τῇ δὲ ὑφὲν χρώμεθα ἐν συναφείᾳ δυοῖν λέξεων φύσει διῃρημένων, καὶ ἐν τοῖς συνθέτοις ὀνόμασιν, οἷον τὴν‿ἀρχὴν, τὸ‿πρῶτον, φιλό‿σοφος, φιλό‿δωρος.

Τῇ ὑποδιαστολῇ δὲ χρώμεθα ἐν ταῖς διαστολαῖς τῶν συνημμένων λέξεων, οἷον ὅ, τι τό, τε· καὶ ἐν ταῖς ἐρωτήσεσι μετὰ στιγμῆς, οἷον «Σὺ, ταῦτα λέγεις;»

Περὶ τόπων τῶν τόνων. Τόποι τῆς ὀξείας τρεῖς· ἡ λήγουσα, ἡ παραλήγουσα, καὶ ἡ προπαραλήγουσα. Τὸ ἔχον τὴν ὀξεῖαν ἐπὶ τῆς ληγούσης, καλεῖται ὀξύτονον, οἷον θεατής· τὸ ἔχον ἐπὶ τῆς παραληγούσης, παροξύτονον καὶ βαρύτο-

νον, οἷον Αἴας· τὸ ἔχον ἐπὶ τῆς προπαραληγούσης προπαροξύτονον καὶ βαρύτονον, οἷον Φιλόδημος. Τόπος τῆς βαρείας εἷς, ἡ λήγουσα· καὶ πᾶσα δὲ λέξις, αὐτὴν δεχομένη, καθ' ὁμαλισμὸν ἀναγινώσκεται· ἔστι δὲ τόνος συλλαβικῶς, καὶ οὐ κυρίως. Τόποι τῆς περισπωμένης δύο, ἡ λήγουσα καὶ ἡ παραλήγουσα· τὸ ἔχον τὴν περισπωμένην ἐπὶ τῆς ληγούσης, καλεῖται περισπώμενον, οἷον Δημοφῶν· τὸ ἔχον ἐπὶ τῆς παραληγούσης, προπερισπώμενον, οἷον δῆμος.

De dictione.

4. Περὶ λέξεως καὶ λόγου. Λέξις ἐστὶ μέρος ἐλάχιστον τοῦ συντακτικοῦ λόγου διαιρετικόν. Λόγος ἐστὶ λέξεων σύνθεσις, διάνοιαν αὐτοτελῆ δελοῦσα. Τοῦ λόγου δὲ μέρη ὀκτώ· ὄνομα, ῥῆμα, μετοχὴ, ἄρθρον, ἀντωνυμία, πρόθεσις, ἐπίῤῥημα, σύνδεσμος. Τούτων κλιτὰ μὲν πέντε· ὄνομα, ῥῆμα, μετοχὴ, ἄρθρον, ἀντωνυμία· ἄκλιτα δὲ τρία, πρόθεσις, ἐπίῤῥημα, καὶ σύνδεσμος.

Περὶ στιγμῆς. Στιγμὴ ἐστὶ διανοίας τελείας σημεῖον. Διαιρεῖται δὲ εἰς τελείαν στιγμὴν, μέσην καὶ ὑποστιγμήν· τελεία στιγμὴ ἐστὶν ὅτε ἡ διάνοια τελεία ὑπάρχει· μέση, ὅτε ἡ διάνοια μεσάζουσα, καὶ ἀτελής· ὑποστιγμὴ, ὅτε κρεμασμένη, καὶ ζητεῖ τὸ ἐπίλοιπον. Κωνστ. Λασκ. Γραμμ.

CAPUT II. De eodem argumento.

5. Περὶ τοῦ αὐτοῦ. Εἰσὶ δὲ, ὡς οἶμαι, τὰ χρησιμεύοντα ταῦτα. Τὸ δὲ εἰδέναι πόσα μὲν φωνήεντα βραχέα, καὶ τίνα· πόσα μὲν φύσει, πόσα δὲ θέσει· πόσοι τόνοι, καὶ πόσοι τόποι ἑκάστου αὐτῶν. Ἔτι δὲ τίς ἡ λήγουσα καὶ ἡ παραλήγουσα καὶ ἡ προπαραλήγουσα· καὶ τί μὲν λόγος, τί δὲ λέξις, τί δὲ συλλαβὴ, τί στοιχεῖον. Βραχέα μὲν οὖν εἰσὶ τῶν φωνηέντων δύο, τὸ ε τὸ ψιλὸν, καὶ τὸ ο τὸ μικρόν· μακρὰ δὲ δύο, τὸ η, καὶ τὸ ω μέγα· δίχρονα τρία, τὸ α, καὶ τὸ ι, καὶ τὸ υ. Θέσει δὲ μακρὰ εἰσὶν, ὅσα τῇ μὲν ἑαυτῶν φύσει βραχέα εἰσὶ καὶ ἀλλότρια τοῦ μακροῦ, δύο δὲ συμφώνων προσελθόντων αὐτοῖς, καὶ ἑνὸς διπλοῦ, ἐμηκύνθησαν.

Τόνοι δὲ εἰσὶ δύο, ἡ ὀξεῖα, καὶ ἡ περισπωμένη· ἡ γὰρ βαρεῖα οὐκ ἔστι κυρίως τόνος· εἰσὶ δὲ τῆς μὲν ὀξείας τόποι τρεῖς· ὀξύτονος, παροξύτονος, καὶ προπαροξύτονος· ὅταν μὲν γὰρ εἰς τὴν τελευταῖαν συλλαβὴν, ἡ τῆς φωνῆς γίνεται κρούσης, οἷον ὁ νικητής, ὁ βασιλεύς ὁ Κομνηνός, ὀξύτονον καλεῖται τοῦτο τὸ ὄνομα· ὅταν δὲ ἐν τῇ ὄπισθεν κειμένῃ τοῦ τέλους συλλαβῇ τέθειται ἡ ὀξεῖα, παροξύτονον λέγεται, οἷον ὁ σεβαστοκράτωρ ὁ Κομνηνόπαις· ὁπηνίκα δὲ πρὸ δύο συλλαβῶν κεῖται ἡ ὀξεῖα, προπαροξύτονον καλεῖται τοῦτο τὸ ὄνομα, οἷον ὁ εὐτυχέστατος ὁ Πορφυρογέννητος. Τῆς δὲ περισπωμένης τόποι εἰσὶ δύο, ὁ περισπώμενος τὲ καὶ ὁ προπερισπώμενος· περισπώμενος μὲν οὖν ἐστὶν, ὅταν ἐπὶ τέλους κεῖται ἡ περισπωμένη, οἷον Θωμᾶς, Λουκᾶς· προπερισπώμενος δὲ, ὅταν πρὸ μιᾶς τοῦ τέλους συλλαβῆς κεῖται ἡ περισπωμένη, οἷον Παῦλος, δῆμος, κῆπος.

Λόγος δὲ ἐστὶ λέξεων ἄθροισις ἀκεραίαν δηλοῦσα τοῦ λέγοντος τὴν διάνοιαν, ποτὲ μὲν δυσὶ, ποτὲ δὲ τρισὶ, ποτὲ δὲ τετράσιν, ἐνίοτε καὶ πλείωσι τούτων λέξεσι περαινόμενος· οἷον τὶ λέγω, ἐὰν

εἴπω, ζῆθι αὐτοκράτορ· αὐτοτελῆ ἐδήλωσα ἔννοιαν· ὅτι ὑπὲρ τοῦ αὐτοκράτορος εὔχομαι, καὶ ἐστὶ τὸ τοιοῦτον λόγος ἐκ δύο συγκείμενος λέξεων· ἐκ τοῦ ζῆθι καὶ τοῦ αὐτοκράτορ. Ὅταν δὲ προσθεὶς εἴπω, ζῆθι αὐτοκράτορ πάντοτε· ἀπὸ τριῶν λέξεων τὸν λόγον ἐποιησάμην· ἀπὸ τοῦ ζῆθι, τοῦ αὐτοκράτορ, καὶ τοῦ πάντοτε. Ἐὰν δὲ ἕτερον προσθήσω καὶ εἴπω· ζῆθι αὐτοκράτορ πάντοτε χάριν ἡμῶν τῶν ὑπηκόων· πολυλεξέστερον τὸν λόγον ἐποιησάμην. Οὐ μόνον γὰρ ἐκ τοῦ ζῆθι καὶ τοῦ αὐτοκράτορ καὶ τοῦ πάντοτε σύγκειται, ἀλλὰ καὶ ἐκ τοῦ χάριν καὶ τοῦ ἡμῶν καὶ τοῦ ὑπηκόων· τοιοῦτον μὲν οὖν ἐστὶν ὁ λόγος.

Λέξις δὲ λέγεται ἓν ἕκαστον τοῦ λόγου μερῶν· οἷον λέξις τὸ ζῆθι, καὶ λέξις τὸ αὐτοκράτορ, καὶ λέξις τὸ πάντοτε. Σύγκειται δὲ, ὥσπερ ὁ λόγος ἀπὸ λέξεων διαφόρων, ἢ δυοῖν ἢ τριῶν ἢ πλειόνων, οὕτω καὶ ἑκάστη λέξις ἀπὸ διαφόρων σύγκειται συλλαβῶν, ἢ δυοῖν ἢ τριῶν ἢ πλειόνων, οἷον τὸ ζῆθι ἀπὸ τῆς ζῆ συλλαβῆς καὶ ἀπὸ τῆς θι· καὶ τὸ αὐτοκράτορ λέξις ἐστὶ καὶ αὐτὸ, τέσσαρας ταύτας ἔχουσα συλλαβὰς, τὴν αὐ καὶ τὴν το καὶ τὴν κρά καὶ τὴν τορ· καὶ ἔστι τελευταία αὐτοῦ

συλλαβὴ ἡ τορ, ἥτις καὶ λήγουσα προσηγόρευται.

Λήγουσα γάρ ἐστι συλλαβὴ, ἐν ᾗ ἡ λέξις λήγει, ἤτοι παύεται. Ὄπισθεν δὲ ἡ παραλήγουσα, ἤγουν ἡ κρά. Ὄπισθεν δὲ καὶ αὐτῆς τῆς παραληγούσης ἡ το, ἥτις προπαραλήγουσα καλεῖται· ὡς εἶναι μὲν λήγουσαν τὴν ἐπὶ τέλους συλλαβήν· οἷον τοῦ ἄνθρωπος τὴν πος, τὴν δὲ ὄπισθεν αὐτῆς παραλήγουσαν, οἷον τὴν θρω, τὴν δὲ ἔτι ὄπισθεν προπαραλήγουσαν, οἷον ἄν.

Στοιχεῖον δὲ ἐστὶ μέρος συλλαβῆς τὸ ἐλάχιστον, οἷον τοῦ ζῆθι δύο εἰσὶ συλλαβαί· τὸ μὲν ζῆ, καὶ τὸ θι. Καὶ ἑκάστη τούτων εἰς δύο στοιχεῖα τέμνεται· ἡ μὲν ζῆ εἰς τὸ ζ καὶ τὸ ῆ, ἡ δὲ θι εἰς τὸ θ καὶ τὸ ι. Ὁ μὲν οὖν λόγος διαιρεῖται εἰς λέξεις, ἡ δὲ λέξις εἰς συλλαβὰς, ἡ δὲ συλλαβὴ εἰς στοιχεῖα· καὶ αὖ κατ' ἀνάλυσιν, τὰ μὲν στοιχεῖα συντιθέμενα ποιεῖ συλλαβὴν, αἱ δὲ συλλαβαὶ λέξιν, αἱ δὲ λέξεις λόγον. Θεοδώρ. Προδρόμ. Γραμμ.



CAPUT III. De Præpositionibus.

1. Πρόθεσις ἐστὶ μέρος λόγου ἄκλιτον προτιθέμενον πάντων τῶν λόγου· μερῶν καὶ ἐν τῇ συνθέσει καὶ συντάξει. Τῶν δὲ προθέσεων ὀκτωκαίδεκα οὔσων, ἓξ εἰσι μονοσύλλαβοι· ἐν, εἰς, ἐξ, σὺν, πρὸς, πρό· δυοκαίδεκα δὲ δισύλλαβοι· ἀνὰ, κατὰ, διὰ, μετὰ, παρὰ, ἀντὶ, ἐπὶ, περὶ, ἀμφὶ, ἀπὸ, ὑπὸ, ὑπέρ.

Τίσι πτώσεσι συντάσσονται αἱ προθέσεις, καὶ τὶ σημαίνουσι.

2. Ἀντί. Ἡ ἀντὶ γενικῇ συντάσσεται, οἷον ἀντὶ σοῦ, ἀντὶ ἐκείνου, ἀντὶ πολλῶν. Ἐν τῇ συνθέσει ποτὲ μὲν τὸ ἴσον σημαίνει, ὡς ἀντίχριστος· καὶ ἀντίθεον δόγμα, τὸ ἐναντίον τῷ Θεῷ.

Ἀπό. Ἡ ἀπὸ ἀεὶ τῇ γενικῇ συντάσσεται, τὴν ἀπὸ τόπου κίνησιν σημαίνουσα, οἷον ἀπὸ τῆς πολέως, ἀπὸ τοῦ δικαίου.

Ἐξ. Ἡ ἐξ, ἥτις καὶ ἐκ λέγεται, ἀεὶ γενικῇ συντάσσεται, οἷον ἐξ ἀγορᾶς, ἐκ τοῦ βουλευτηρίου· ἔχει τὸ ξ, ἑπομένου φωνήεντος, τὸ κ δὲ, ἑπομένου συμφώνου· ... κύκλῳ, καὶ περὶ ποιητικὸν, καὶ συστα-

Πρό. Ἡ πρὸ ἀεὶ γενικῇ συντάσσεται, τόπον, καὶ χρόνον, σημαίνουσα, οἷον πρὸ τῆς θύρας, πρὸ τοῦ περσικοῦ πολέμου ἐγένετο ὁ τρωϊκός.

Ἐν. Ἡ ἐν ἀεὶ δοτικῇ συντάσσεται, τὸ ἔν τινι δηλοῦσα, οἷον ἐν οἴκῳ, ἐν ἀγρῷ· ἀττικῶς δὲ καὶ γενικῇ κατ' ἔλλειψιν τῆς δοτικῆς, οἷον ἐν ᾅδου, ἀντὶ ἐν τῷ τόπῳ τοῦ ᾅδου. Παρὰ ποιηταῖς δὲ λέγεται ἐνὶ, καὶ εἰν· τὸ δὲ ἔνι δύναμιν τοῦ ἔστιν ἔχει.

Σύν. Ἡ σὺν, ἥτις καὶ ξὺν ἀττικῶς λέγεται, δοτικῇ μόνῃ συντάσσεται, ὁμόνοιαν σημαίνουσα, οἷον σὺν θεῷ, σὺν τῷ Ἰωάννῃ.

Ἀνά. Ἡ ἀνὰ αἰτιατικῇ κοινῶς συντάσσεται, οἷον ἀνὰ τὴν ὁδὸν, ἀνὰ τὸ στρατόπεδον, ἀνὰ τὴν πόλιν· ἀντὶ ἐπὶ τῆς ὁδοῦ, διὰ τοῦ στρατοπέδου, εἰς τὴν πόλιν. Τὸ δὲ χρυσέῳ ἀνὰ σκήπτρῳ ποιητικὸν, ἀντὶ σὺν σκήπτρῳ κ. τ. ἄ.

Εἰς. Ἡ εἰς, ἥτις ἀττικῶς ἐς λέγεται, αἰτιατικῇ συντάσσεται, οἷον εἰς ναὸν, εἰς ἀγοράν· ἀττικῶς δὲ καὶ γενικῇ κατ' ἔλλειψιν τῆς αἰτιατικῆς, οἷον εἰς διδασκάλου, ἀντὶ εἰς τὴν οἰκίαν τοῦ διδασκάλου. Χρώμεθα δὲ ταύτῃ ἐπὶ ἀψύχων, οἷον

Ὑπέρ. Ἡ ὑπὲρ γενικῇ καὶ αἰτιατικῇ συντάσσεται. Γενικῇ μὲν ὅτε ἢ βοήθειαν σημαίνει, οἷον ὑπὲρ Κτησιφῶντος ὁ λόγος, ἢ αἰτίαν, οἷον ὑπὲρ ὧν ἔλεξα, πάλιν λέξω· ἢ ἐπάνω, οἷον ὑπὲρ καπνοῦ τίθησι τὸ πηδάλιον. Αἰτιατικῇ δὲ ὅτε τὸ πλέον ἢ ἐπ' ἐκεῖνα δηλοῖ, οἷον ὑπὲρ ἀνθρώπων φρονεῖ, ὑπὲρ τὴν Θράκην ἡ Μακεδονία.

Κατά. Ἡ κατὰ γενικῇ, καὶ αἰτιατικῇ συντάσσεται. Γενικῇ μὲν, ὅταν ἐπιφορὰν καὶ κατηγορίαν σημαίνῃ, οἷον ὁ ἄθεος Νεστόριος κατὰ πάντων τῶν ἀγαθῶν καὶ σοφῶν λέγει καὶ γράφει· ἢ τὸ ἐπάνω καὶ περί τι, οἷον κατὰ γῆς κάθημαι· τὸ δὲ «κατ' οὐλυμπόιο καρήνων χωόμενος» ἀντὶ ἀπὸ καρήνων κ. τ. ἅ. Αἰτιατικῇ δὲ ὅτε ὁμοιότητα, οἷον κατὰ Δημοσθένη γράφει, καθ' Ὅμηρον· ἢ ὅτε χρόνον, οἷον καθ' ἡμᾶς ἐγένετο ἀνὴρ σοφός· ἢ ὅτε κίνησιν, ὡς κατὰ νῆας Ἀχαιῶν.

Διά. Ἡ διὰ γενικῇ καὶ αἰτιατικῇ συντάσσεται. Γενικῇ μὲν ἐνέργειαν, ἢ τὸ μέσον σημαίνουσα, ὡς διὰ σοῦ τοῦτο γένοιτο, διὰ τῆς ἀγορᾶς ἐβάδιζεν. Αἰτιατικῇ δὲ αἰτίαν, οἷον διὰ τὰ χρήματα πάντα γίνονται· καὶ τὸ μέσον σπαότε τὸ κύκλω, καὶ περὶ ποιητικὸν, καὶ συστα-

Ἐπί. Ἡ ἐπὶ γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται. Γενικῇ μὲν, ὅτε τὸ ἐπάνω δηλοῖ, οἷον τὰ ζῶα ἐπὶ γῆς, ἢ ὅτε χρόνον, οἷον ἐπὶ ἄρχοντος Πυθοκλέους· ἢ ὅτε τὸ περί τι καὶ ἔν τινι, οἷον ἐπὶ πολλῶν· ἢ ὅτε κίνησιν ἀττικῶς, οἷον ἐπὶ τῆς χώρας. Δοτικῇ δὲ ὅτε αἰτίαν, οἷον ἐπ' ἀγαθῷ ἐδημηγόρει· ἢ τὸ ἐπάνω, οἷον ἐπὶ τρόπιδι ναῦς· ἢ τὸ ὕστερον, ὡς ἐπὶ τούτοις καὶ ἕτερα διηγεῖτο· ἢ αὐτεξουσιότητά τινα, ὡς ἐπὶ τῷ ἀρχιερεῖ τὰ τῆς ἐκκλησίας πράγματα· ἢ ἐπιβουλὴν, οἷον ἐπὶ τῷ δήμῳ, ἀντὶ κατὰ τοῦ δήμου. Αἰτιατικῇ δὲ ὅτε κίνησιν δηλοῖ, οἷον ἐπὶ τὴν ἀττικὴν ἐπορεύετο· ἢ δόλον, οἷον ἐφ' ἡμᾶς ὥρμησε.

Ὑπό. Ἡ ὑπὸ γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται. Γενικῇ μὲν ὅτε ἢ τὸ αἴτιον σημαίνει, οἷον ὑπὸ νόσου οὐ περιπατεῖ· ἢ τὸ ὑποκάτω, οἷον ὑφ' εἵματος. Δοτικῇ δὲ καὶ αἰτιατικῇ τὸ αὐτὸ, οἷον ὑπὸ δένδρῳ, καὶ ὑπὸ δένδρον, καὶ ὁ στρατιώτης ὑπὸ τὸν στρατηγόν.

Μετά. Ἡ μετὰ γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται. Γενικῇ μὲν ὅτε ἕνωσιν δηλοῖ, ὡς μετὰ σοῦ. Δοτικῇ δὲ τὸ αὐτὸ ποιητικῶς,

ὅτε τὸ ὕστερον, οἷον μετὰ σὲ ἐγὼ ἦλθον.

Ἀμφί. Ἡ ἀμφὶ ὁμοιόσημος, καὶ ὁμοιοσύντακτός ἐστι τῇ περί· συνηθεστέρα μέντοι ἡ περί· πολλάκις δὲ παρὰ ποιηταῖς ὁμουκεῖνται, ὡς Ἕκτωρ δὲ ἀμφιπεριστρώφα καλλίτριχας ἵππους.

Παρά. Ἡ παρὰ γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται. Γενικῇ μὲν ὅτε τὴν ἀπό τινος κίνησιν δηλοῖ, οἷον παρὰ τοῦ βασιλέως ἡ δικαιοσύνη. Δοτικῇ δὲ ὅτε τὸ πλησίον μετ' ἐμψύχου, οἷον παρὰ τῷ βασιλεῖ κάθηται, παρὰ σοὶ διατρίβω. Αἰτιατικῇ δὲ ὅτε ἢ τὸ ἐγγὺς μετὰ ἀψύχου, ὡς παρὰ τὴν θάλατταν· ἢ κίνησιν ἐπί τι, οἷον παρὰ σὲ ἔρχομαι· ἢ τὸ διά τι, ὡς παρὰ τὸ ἀδικεῖν ἡ τιμωρία· ἢ τὸ ἔξω, οἷον παρὰ τὸ δίκαιον πράττει, καὶ παρὰ γνώμην συμβαίνει.

Περί. Ἡ περὶ γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται. Γενικῇ μὲν ὅτε τὸ αἴτιον δηλοῖ, οἷον μάχομαι περὶ σοῦ. Δοτικῇ δὲ σχεδὸν τὸ αὐτὸ ποιητικῶς, οἷον δέδοικα περὶ ξανθῷ Μενελάῳ· ἔτι καὶ τὸ « ἐρωήσει περὶ δουρὶ », ἀντὶ ἐν· καὶ περὶ πύργῳ, ἀντὶ κύκλῳ. Αἰτιατικῇ δὲ ὅτε τὸ κύκλῳ, καὶ περὶ ποιητικὸν, καὶ συστα-

τικὸν, οἷον περὶ τὴν πόλιν τὸ στράτευμα· τί τὸ περὶ ἐμὲ πρᾶγμα;

Πρός. Ἡ πρὸς γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται. Γενικῇ μὲν ὅταν τὴν ἀπὸ προσώπου σημαίνῃ κίνησιν, οἷον πρὸς θεοῦ τ' ἀγαθὰ, ἀντὶ παρά· ἢ ὅτε ἐπὶ ὅρκου κεῖται, οἷον ποίησον πρὸς θεοῦ· ἢ τὸ ἐνώπιον δηλοῖ, οἷον πρὸς τὲ θεῶν μακάρων, πρὸς τὲ θνητῶν ἀνθρώπων· ἢ τὸ καθῆκον, οἷον οὐ πρὸς ἰατροῦ σοφοῦ. Δοτικῇ δὲ ὅτε τὸ πλησίον, οἷον πρὸς τοῖς ποσὶ, πρὸς τῷδε. Αἰτιατικῇ δὲ ὅταν κίνησιν πρός τι ἔμψυχον, ὡς ἐπὶ τὸ πλεῖστον, σημαίνῃ, οἷον πρὸς τὸν Ἰωάννην· ἢ ἕνωσιν, ὡς πρὸς τὸν θεὸν, ἀντὶ μετὰ θεοῦ· ἢ λόγον τινὰ, ὡς τὰ δύο πρὸς τὰ τέτταρα, οὕτω τὰ τέτταρα πρὸς τὰ ὀκτώ· ἢ παράδειγμα, οἷον πρὸς αὐλὸν ᾄδει.

Σημείωσαι. Ὅτι παρέπονται ταῖς προθέσεσι πέντε· τὸ ὀξύνεσθαι· τὸ βραχυκαταληκτεῖν πλὴν τῆς εἰς καὶ ἐξ· τὸ μέχρι τῆς δισσυλλαβίας αὔξεσθαι· τὸ διὰ ψιλοῦ συμφώνου ἐκφέρεσθαι πλὴν τῆς ἀμφί· τὸ ψιλοῦσθαι πλὴν τῆς ὑπὸ καὶ ὑπέρ. (Τὸ γὰρ υ προηγούμενον τῆς λέξεως δασύνεται).

Εἰσὶ δὲ καὶ πολλὰ ἐπιῤῥήματα γενικῇ συν-

τασσόμενα, οἷον ἔξω, χωρὶς, ἄνευ, πλὴν, ἄλις, ἔνδον, εἴσω. Τὰ δὲ ἀθροιστικὰ δοτικῇ· τὰ δὲ θετικὰ δοτικῇ καὶ αἰτιατικῇ καὶ αἷς ἂν πτώσεσι τὰ αὐτῶν συντάσσωνται ῥήματα. Τὸ δὲ μὰ καὶ νὴ αἰτιατικῇ· καὶ τὸ μὲν μὰ, ὡς τὰ πολλὰ, ἀποφάσκει· τὸ δὲ νὴ καταφάσκει. Κωνστ. Λασκ. Γραμμ.

De mundi creatione.

Ἀνάγνωσις. Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· ἡ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύατος· καὶ σκότος ἐπάνω τῆς ἀβύσσου· καὶ πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος. Καὶ εἶπεν ὁ Θεός· γενηθήτω φῶς· καὶ ἐγένετο φῶς· καὶ εἶδεν ὁ Θεὸς τὸ φῶς, ὅτι καλὸν καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ φωτὸς, καὶ ἀνὰ μέσον τοῦ σκότους· καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ φῶς ἡμέραν, καὶ τὸ σκότος ἐκάλεσε νύκτα. Καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωῒ, ἡμέρα μία.

Καὶ εἶπεν ὁ Θεός· γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος· καὶ ἔστω διαχορίζον ἀνὰ μέσον ὕδατος καὶ ὕδατος· καὶ ἐγένετο οὕτως. Καὶ ἐποίησεν

ὁ Θεὸς τὸ στερέωμα· καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ ὕδατος, ὃ ἦν ὑποκάτω τοῦ στερέωματος· καὶ ἀνὰ μέσον τοῦ ὕδατος, τοῦ ἐπάνω τοῦ στερεώματος· καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ στερέωμα οὐρανόν. Καὶ εἶδεν ὁ Θεὸς, ὅτι καλόν. Καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωῒ ἡμέρα δευτέρα.

Καὶ εἶπεν ὁ Θεός· συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά· καὶ ἐγένετο οὕτως. Καὶ συνήχθη τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς τὰς συναγωγὰς αὐτῶν, καὶ ὤφθη ἡ ξηρά. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὴν ξηρὰν γῆν· καὶ τὰ συστήματα τῶν ὑδάτων ἐκάλεσε θαλάσσας· καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν. Καὶ εἶπεν ὁ Θεός· βλαστησάτω ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπὸν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς· καὶ ἐγένετο οὕτως. Καὶ ἐξήνεγκεν ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπὸν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς. Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν· καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωῒ, ἡμέρα τρίτη.

Καὶ εἶπεν ὁ θεός· γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ εἰς φαῦσιν ἐπὶ τῆς γῆς, τοῦ διαχωρίζειν ἀνὰ τῆς ἡμέρας καὶ ἀνὰ μέσον τῆς νυκτός· ἔστωσαν εἰς σημεῖα, καὶ εἰς καιροὺς, εἰς ἡμέρας, καὶ εἰς ἐνιαυτούς· καὶ ἔστωσαν εἰς φαῦσιν ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὥστε φαίνειν ἐπὶ τῆς γῆς· καὶ ἐγένετο οὕτως. Καὶ ἐποίησεν ὁ Θεὸς τοὺς δύο φωστῆρας τοὺς μεγάλους· τὸν φωστῆρα τὸν μέγαν εἰς ἀρχὰς τῆς ἡμέρας, καὶ τὸν φωστῆρα τὸν ἐλάσσω εἰς ἀρχὰς τῆς νυκτὸς καὶ τοὺς ἀστέρας. Καὶ ἔθετο αὐτοὺς ὁ Θεὸς ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὥστε φαίνειν ἐπὶ τῆς γῆς, καὶ ἄρχειν τῆς ἡμέρας καὶ τῆς νυκτὸς, καὶ διαχωρίζειν ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους. Καὶ εἶδεν ὁ θεὸς, ὅτι καλόν· καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα τετάρτη.

Καὶ εἶπεν ὁ θεός· ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ· καὶ ἐγένετο οὕτως. Καὶ ἐποίησεν ὁ Θεὸς τὰ κήτη μεγάλα, καὶ πᾶσαν ψυχὴν ζώων ἑρπετῶν ἃ ἐξήγαγε τὰ ὕδατα κατὰ γένη αὐτῶν· καὶ πᾶν πετεινὸν πτερωτὸν κατὰ γένος. Καὶ εἶδεν ὁ θεὸς, ὅτι καλά· καὶ εὐλόγη-

σεν αὐτὰ ὁ θεός, λέγων· αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὰ ὕδατα ἐν ταῖς θαλάσσαις· καὶ τὰ πετεινὰ πληθυνέσθωσαν ἐπὶ τῆς γῆς. Καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωῒ ἡμέρα πέμπτη.

Καὶ εἶπεν ὁ θεός· ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν κατὰ γένος, τετράποδα καὶ ἑρπετὰ καὶ θηρία τῆς γῆς κατὰ γένος· καὶ ἐγένετο οὕτως. Καὶ ἐποίησεν ὁ θεὸς τὰ θηρία τῆς γῆς κατὰ γένος, καὶ τὰ κτήνη κατὰ γένος αὐτῶν, καὶ πάντα τὰ ἑρπετὰ τῆς γῆς κατὰ γένος. Καὶ εἶδεν ὁ θεὸς, ὅτι καλά· καὶ εἶπεν ὁ θεός· ποιήσωμεν ἄνθρωπον κατὰ εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν· καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ τῶν κτηνῶν καὶ πάσης τῆς γῆς, καὶ πάντων τῶν ἑρπετῶν ἑρπόντων ἐπὶ τῆς γῆς. Καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον· κατὰ εἰκόνα θεοῦ ἐποίησεν αὐτόν· ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. Καὶ εὐλόγησεν αὐτοὺς ὁ θεὸς, λέγων· αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς· καὶ ἄρχετε τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ πάντων τῶν κτηνῶν, καὶ πάσης τῆς γῆς, καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς.

Καὶ εἶπεν ὁ θεός· ἰδοὺ δέδωκα ὑμῖν πάντα χόρτον σπόριμον σπεῖρον σπέρμα, ὅ ἐστιν ἐπάνω πάσης τῆς γῆς· καὶ πᾶν ξύλον, ὃ ἔχει ἐν ἑαυτῷ καρπὸν σπέρματος σπορίμου ὑμῖν ἔσται εἰς βρῶσιν· καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ παντὶ ἑρπετῷ ἕρποντι ἐπὶ τῆς γῆς, ὃ ἔχει ἐν ἑαυτῷ ψυχὴν ζωῆς, καὶ πάντα χόρτον χλωρὸν εἰς βρῶσιν· καὶ ἐγένετο οὕτως. Καὶ εἶδεν ὁ θεὸς τὰ πάντα ὅσα ἐποίησε· καὶ ἰδοὺ καλὰ λίαν. Καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ ἡμέρα ἕκτη.

Καὶ συνετελέσθησαν ὁ οὐρανὸς καὶ ἡ γῆ, καὶ πᾶς ὁ κόσμος αὐτῶν· καὶ συνετέλεσεν ὁ θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα αὐτοῦ, ἃ ἐποίησε. Καὶ κατέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἐποίησε· καὶ εὐλόγησεν ὁ θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην, καὶ ἡγίασεν αὐτήν· ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἤρξατο ὁ θεὸς ποιῆσαι. Γέν. κεφ· ά, καὶ β΄.

CAPUT IV. De Adverbio.

Περὶ ἐπιῤῥήματος. Ἐπίῤῥημα ἐστι λέξις ἄκλιτος μετὰ τὸ ῥῆμα ταττομένη, καὶ τρόπον, ἢ τό-

πον ἢ σχέσιν δελοῦσα· οἷον ἀναγινώσκω καλῶς. Τὸ μὲν γὰρ ἀναγινώσκω ῥῆμα ἐστὶ, τὸ δὲ καλῶς ἐπίῤῥημα· καὶ σημαίνει τρόπον πῶς ἀναγινώσκω. Τὸ δὲ οἴκαδε, καὶ ἄνω καὶ κάτω καὶ τὰ τοιαῦτα, ἐπιῤῥήματα εἰσὶ τόπον ἢ σχέσιν δηλοῦντα. Θεοδώρ. Προδρόμ. Γραμμ.

De eodem argumento.

Περὶ τοῦ αὐτοῦ. Ἐπίῤῥημά ἐστι μέρος λόγου ἄκλιτον, κατὰ ῥήματος λεγόμενον, ἢ ἐπιλεγόμενον. Τούτου δὲ τὰ μὲν καλοῦνται χρόνου· οἷον νῦν, τότε, αὖθις, τόφρα, τέως, ἕως, πηνίκα, ἔπειτα, μετέπειτα, σήμερον, αὔριον, χθὲς (ὃ καὶ ἐχθὲς λέγεται), ἤδη, πάλαι, ἀεί.

Τὰ δὲ τόπου· οἷον ἄνω, κάτω, ἔξω, ἔσω, ἔνδον, ἐγγὺς, πόῤῥω, ἐναντίον, χαμαὶ, ἔνθα, ὅθεν ἀπέκεινα, μακράν.

Τὰ δὲ ποιότητος· οἷον εὖ, καλῶς, ἡδέως, σοφῶς, κυνηδὸν, βοτρυδὸν, ἀγεληδόν. (Τούτων δὲ ὅσα γίνονται ἀπὸ τῆς γενικῆς πληθυντικῆς, καὶ μεσότητος προσαγορεύονται, οἷον σοφῶς, ἀπὸ τῶν σοφῶν, καλῶς, ἀπὸ τῶν καλῶν).

Τὰ δὲ ποσότητος· οἷον ἅπαξ, δὶς, τρὶς, τετράκις. Τὰ δὲ ἀθροίσεως, οἷον ἅμα, ὁμοῦ, συλλήβδην, ἀθρόως. Τὰ δὲ παρακελεύσεως, οἷον εἶα, ἄγε, φέρε, δεῦτε. Τὰ δὲ διαιρήσεως, οἷον ἄνευ, χωρὶς, δίχῆ. Τὰ δὲ ἐξαιρεσεως. οἷον πλήν. Τὰ δὲ τάξεως, οἷον ἑξῆς, ἐφεξῆς. Τὰ δὲ ὁμοιώσεως, οἷον ὡς, ὥσπερ, καθὰ, καθάπερ. Τὰ δὲ ἀποστάσεως, οἷον ὥστε. Τὰ δὲ συνκρίσεως, οἷον μᾶλλον, ἧττον. Τὰ δὲ ἐξηγηματικὰ, οἷον δηλονότι, δηλαδὴ, ἤγουν, οἷον. Τὰ δὲ ποσότητος ἀορίστου, καὶ ποιότητος, οἷον ἀμηγέπως, ὁπωσοῦν, ἀμηγέπη, ὅπως δήποτε, ὁπωςδηποτοῦν. Τὰ δὲ ὑφαιρέσεως, οἷον σπανίως, ἐλάχιστα, μόγις. Τὰ δε ἐκλογῆς, οἷον μενοῦνγε. Τὰ δὲ ἀποτρεπτικά, οἷον ἡράκλεις, ἄπολλον. Τὰ δὲ ἐθνεκὰ, οἷον ἑλληνιστὶ, ἑβραιστὶ, συριστὶ, φρυγιστὶ, ἀρμενιστί. Τὰ δὲ ἀνέσεως, οἷον μόλις, μόγις.

Τά δὲ διαθέσεως, οἷον σχεδόν. Τὰ δὲ ὀργανικὰ, οἷον ὀδάξ· Τὰ δὲ ἀποθετικὰ, καὶ προκαταστατικὰ, οἷον εἶεν. Τά δὲ ἐπιτάσεως, οἷον λίαν ἄγαν, πάνυ, μάλιστα, σφόδρα. Τὰ δὲ ἀνέξεως, οἷον ἠρέμα, ἡσυχῆ. Τὰ δὲ βε-

βαιώσεως, οἷον δηλαδὴ, δήπουθεν, πάντως, ὄντως, ἦ. Τὰ δὲ καταφάσεως, οἷον ναί. Τὰ δὲ κατομώσεως, οἷον νὴ, μά. Τὰ δὲ ἀπομώσεως, οἷον μά. Τὰ δὲ ἀρνήσεως, οἷον οὐ, οὐδαμῶς, ἥκιστα. Τὰ δὲ ἀπαγορεύσεως, οἷον μὴ, μηδαμῶς. Τὰ δὲ εἰκασμοῦ, οἷον ἴσως, τάχα, τυχόν. Τὰ δὲ ἐρωτήσεως, οἷον πόθεν, ποῦ, πηνίκα, πῶς. Τὰ δὲ δείξεως, οἷον ἰδοὺ, ἠνί. Τὰ δὲ κλήσεως, οἷον ὦ. Τὰ δὲ διασαφήσεως, ὡς οἷον. Τὰ δὲ σχετλιασμοῦ, οἷον ὢ, ἰοῦ, οἴμοι, φεῦ. Τὰ δὲ θαυμασμοῦ, οἷον φεῦ, βαβαί. Τὰ δὲ ἐκπλήξεως, οἷον ἆ. Τὰ δὲ θειασμοῦ, οἷον εὐοῖ, εὐάν.

Παρέπεται δὲ αὐτῷ εἶδος, καὶ σχῆμα. Τὸ μὲν γὰρ πρωτότυπον, οἷον νῦν, τὸ δὲ παράγωγον, οἷον νυνί· καὶ τὸ μὲν ἁπλοῦν, οἷον πάλαι, τὸ δὲ σύνθετον, οἷον πρόπαλαι.

Κωνστ. Λασκ. Γραμμ.

Paradisi descriptio.

Ἀνάγνωσις. Καὶ ἔπλασεν ὁ θεὸς τὸν ἄνθρωπον, χοῦν ἀπὸ τῆς γῆς· καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄν-

θρωπος εἰς ψυχὴν ζῶσαν. Καὶ ἐφύτευσεν ὁ Θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολάς· καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον, ὃν ἔπλασε. Καὶ ἐξανέτειλεν ὁ Θεὸς ἔτι ἐκ τῆς γῆς πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν, καὶ καλὸν εἰς βρῶσιν· καὶ τὸ ξύλον τῆς ζωῆς ἐν μέσῳ τοῦ παραδείσου, καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονεροῦ. Ποταμὸς δὲ ἐκπορεύεται ἐξ Ἐδὲμ ποτίζειν τὸν παράδεισον· ἐκεῖθεν ἀφορίζεται εἰς τέσσαρας ἀργάς. Ὄνομα τῷ ἑνὶ Φισῶν· οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν Εὐιλάτ· ἐκεῖ οὗ ἐστι τὸ χρυσίον· τὸ δὲ χρυσίον τῆς γῆς ἐκείνης καλόν· καὶ ἐκεῖ ἐστιν ὁ ἄνθραξ καὶ ὁ λίθος ὁ πράσινος. Καὶ ὄνομα τῷ ποταμῷ τῷ δευτέρῳ Γεῶν· οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν Αἰθιοπίας. Καὶ ὁ ποταμὸς ὁ τρίτος Τίγρις· οὗτος ὁ προπορευόμενος κατέναντι Ἀσσυρίων. Ὁ δὲ ποταμὸς ὁ τέταρτος Εὐφράτης. Καὶ ἔλαβε κύριος ὁ Θεὸς τὸν ἄνθρωπον ὃν ἔπλασε, καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς, ἐργάζεσθαι αὐτὸν καὶ φυλάσσειν. Καὶ ἐνετείλατο κύριος ὁ Θεὸς τῷ Ἀδὰμ, λέγων· ἀπὸ πάντος ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ· ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσθε ἀπ' αὐτοῦ· ᾗ δὲ ἂν

ἡμέρα φάγητε ἀπ' αὐτοῦ θανάτῳ ἀποθανεῖσθε. Καὶ εἶπε κύριος ὁ θεός· οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον· ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτὸν. Καὶ ἔπλασεν ὁ θεὸς ἔτι ἐκ τῆς γῆς πάντα τὰ θηρία τοῦ ἀγροῦ, καὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ· καὶ ἤγαγεν αὐτὰ πρὸς τὸν Ἀδὰμ, ἰδεῖν τί καλέσει αὐτά· καὶ πᾶν ὃ ἐὰν ἐκάλεσεν αὐτὸ Ἀδὰμ ψυχὴν ζῶσαν, τοῦτο ὄνομα αὐτῷ. Καὶ ἐκάλεσεν Ἀδὰμ ὀνόματα πᾶσι τοῖς κτήνεσι, καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ πᾶσι τοῖς θηρίοις τοῦ ἀγροῦ. Τῷ δὲ Ἀδὰμ οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ. Καὶ ἐπέβαλεν ὁ θεὸς ἔκστασιν ἐπὶ τὸν Ἀδὰμ, καὶ ὕπνωσε· καὶ ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ, καὶ ἀνεπλήρωσε σάρκα ἀντ' αὐτῆς· καὶ ᾠκοδόμησεν ὁ θεὸς τὴν πλευρὰν, ἣν ἔλαβε ἀπὸ τοῦ Ἀδὰμ, εἰς γυναῖκα· καὶ ἤγαγεν αὐτὴν πρὸς τὸν Ἀδάμ· καὶ εἶπεν Ἀδάμ· τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου· καὶ σὰρξ ἐκ τῆς σαρκός μου, αὕτη κληθήσεται γυνὴ, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη· ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ· καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. Γεν. κεφάλ. β'.

CAPUT V. De conjunctione.

Ὁ δὲ σύνδεσμος μέρος ἐστὶ καὶ αὐτὸς λόγου ἄκλιτον· ὠνόμασται δὲ σύνδεσμος ἀπὸ τοῦ συνδεσμεῖν καὶ ἑνοποιεῖν τοὺς διαλελυμένους καὶ ἀσυνδέτους λόγους· οἷον τι λέγω ἐὰν εἴπω· ὁ βασιλεὺς νενίκηκεν· ὁ ἐχθρὸς ἡττήθη· ἀσυνδέτως λέγω καὶ ἀπροσκολλήτως. Ἐὰν δὲ εἴπω, ὁ μὲν βασιλεὺς νενίκηκεν, ὁ δὲ ἐχθρὸς ἡττήθη καὶ ἡμεῖς ἑορτάζομεν, ἰδοὺ τὸν λόγον συνέδησα καὶ συνέῤῥαψα καὶ ἕνα ἐποιησάμην, τὸν μὲν, τὸν δὲ, καὶ τὸν καὶ προσθέμενος σύνδεσμον. Θεοδώρ. Προδρόμ. Γρ.

De eodem argumento.

Σύνδεσμός ἐστι μέρος λόγου ἄκλιτον συνδέον τὰ ἄλλα μέρη τοῦ λόγου εἰς διάνοιαν μετὰ τάξεως. Τούτου δὲ οἱ μὲν συμπλεκτικοὶ, οἷον μὲν δὲ, τὲ, καὶ, ἀλλὰ, ἀτάρ· οἱ δὲ διαζευκτικοὶ, οἷον ἢ, ἤτοι· οἱ δὲ συναπτικοὶ, οἷον εἰ, εἴπερ, εἰδὴ, εἰδήπερ· οἱ δὲ αἰτιολογικοὶ, οἷον ἵνα, ὄφρα, ὅπως, ἕνεκα, οὕνεκα, γὰρ, ὅτι, διότι· οἱ δὲ ἀπορηματικοὶ, οἷον ἆρα, εἶτα, μῶν, μή· οἱ δὲ συλλογιστικοὶ, οἷον ἄρα, ἀλλὰ, ἀλλα-

μὴν, οὖν, τοίνυν, τοιγάρτοι, τοιγαροῦν· οἱ δὲ παραπληρωματικοὶ, οἷον δὴ, ποῦ, τοι, δῆτα, περ, πὼ, μὴν, αὖ, οὖν, γε· οἱ δὲ δυνητικοὶ, οἷον ἄν· οἱ δὲ διακριτικοὶ, εἶτ' οὖν ἐπιλεκτικοὶ, οἷον γοῦν, γε· οἱ δὲ ἐναντιωματικοὶ, οἷον ὅμοιως, καίτοι, καίπερ, ἔμπης. Παρέπεται δὲ αὐτῷ σχῆμα· ὁ μὲν γὰρ ἁπλοῦς, οἷον ἐπεί· ὁ δὲ σύνθετος, οἷον ἐπειδή. Κωνστ. Λασκ. Γραμμ.

Serpentis astutia Dei præceptum primi parentes transgrediuntur.

Ἀνάγνωσις. Καὶ ἦσαν οἱ δύο γυμνοὶ, ὅ τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ, καὶ οὐκ ᾐσχύνοντο. Ὁ δὲ ὄφις ἦν φρονιμώτατος πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς, ὧν ἐποίησε κύριος ὁ θεός. Καὶ εἶπεν ὁ ὄφις τῇ γυναικί· τί ὅτι εἶπεν ὁ κύριος ὁ θεὸς, οὐ μὴ φάγητε ἀπὸ πάντος ξύλου τοῦ παραδείσου; καὶ εἶπεν ἡ γυνὴ τῷ ὄφει· ἀπὸ καρποῦ τοῦ ξύλου τοῦ παρδείσου φαγούμεθα· ἀπὸ δὲ τοῦ καρποῦ τοῦ ξύλου, ὅ ἐστιν ἐν μέσῳ τοῦ παραδείσου, εἶπεν ὁ θεὸς, οὐ φάγεσθε ἀπ' αὐτοῦ, οὐ δὲ μὴ ἅψησθε αὐτοῦ, ἵνα μὴ ἀποθάνητε. Καὶ εἶπεν ὁ ὄφις τῇ

γυναιξί· οὐ θανάτῳ ἀποθανεῖσθε· ᾔδει γὰρ ὁ Θε-
ὸς, ὅτι ᾗ ἂν ἡμέρα φάγητε ἀπ' αὐτοῦ, διανοιχ-
θήσονται ὑμῶν οἱ ὀφθαλμοὶ, καὶ ἔσεσθε ὡς Θεοὶ.
γινώσκοντες καλὸν καὶ πονηρόν. Καὶ εἶδεν ἡ γυ-
νὴ, ὅτι καλὸν τὸ ξύλον εἰς βρῶσιν, καὶ ὅτι ἀρεσ-
τὸν τοῖς ὀφθαλμοῖς ἰδεῖν, καὶ ὡραῖον ἐστι τοῦ
κατανοῆσαι. Καὶ λαβοῦσα ἀπὸ τοῦ καρποῦ αὐτοῦ,
ἔφαγε· καὶ ἔδωκε καὶ τῷ ἀνδρὶ αὐτῆς μετ' αὐτῆς
καὶ ἔφαγον. Καὶ διηνοίχθησαν οἱ ὀφθαλμοὶ τῶν
δύο, καὶ ἔγνωσαν ὅτι γυμνοὶ ἦσαν· καὶ ἔῤῥαψαν
φύλλα συκῆς, καὶ ἐποίησαν ἑαυτοῖς περιζώματα.
Καὶ ἤκουσαν τῆς φωνῆς κυρίου τοῦ Θεοῦ περιπα-
τοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινόν· καὶ ἐκρύ-
βησαν ὅ τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ ἀπὸ προσώ-
που κυρίου τοῦ Θεοῦ ἐν μέσῳ τοῦ ξύλου τοῦ παρα-
δείσου. Καὶ ἐκάλεσεν κύριος ὁ Θεὸς τὸν Ἀδὰμ,
καὶ εἶπεν αὐτῷ· Ἀδὰμ ποῦ εἶ; καὶ εἶπεν αὐτῷ·
τῆς φωνῆς σου ἤκουσα περιπατοῦντος ἐν τῷ πα-
ραδείσῳ, καὶ ἐφοβήθην, ὅτι γυμνός εἰμι, καὶ ἐ-
κρύβην. Καὶ εἶπεν αὐτῷ ὁ Θεός· τίς ἀνήγγειλέ
σοι ὅτι γυμνὸς εἶ, εἰ μὴ ἀπὸ τοῦ ξύλου, οὗ ἐνετει-
λάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔ-
φαγες; Καὶ εἶπεν ὁ Ἀδάμ· ἡ γυνὴ, ἣν ἔδωκας

μετ' ἐμοῦ, αὕτη μοι ἔδωκεν. ἀπὸ τοῦ ξύλου, καὶ ἔφαγον. καὶ εἶπε κύριος ὁ Θεὸς τῇ γυναικί· τί τοῦτο ἐποίησας; καὶ εἶπεν ἡ γυνή· ὁ ὄφις ἠπάτεσέ με καὶ ἔφαγον. Καὶ εἶπε κύριος ὁ Θεὸς τῷ ὄφει· ὅτι ἐποίησας τοῦτο, ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν κτηνῶν, καὶ ἀπὸ πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς· ἐπὶ τῷ στήθει σοῦ καὶ τῇ κοιλίᾳ πορεύσῃ καὶ γῆν φαγῇ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου· καὶ ἔχθραν θήσω ἀνὰ μέσον σοῦ καὶ ἀνὰ μέσον τῆς γυναικὸς, καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου, καὶ ἀνὰ μέσον τοῦ σπέρματος αὐτῆς· αὐτός σου τηρήσει κεφαλὴν, καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν. Καὶ τῇ γυναικὶ εἶπε· πληθύνων πληθυνῶ τὰς λύπας σοῦ καὶ τὸν στεναγμόν σου· ἐν λύπαις τέξῃ τέκνα, καὶ πρὸς τὸν ἄνδρα σοῦ ἡ ἀποστροφή σου· καὶ αὐτός σου κυριεύσει. Τῷ δὲ Ἀδὰμ εἶπεν· ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου, καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν ἀπ' αὐτοῦ, ἔφαγες, ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σοῦ· ἐν λύπαις φαγῇ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου· ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι, καὶ φαγῇ τὸν χόρτον τοῦ ἀγροῦ· ἐν ἱδρῶτι τοῦ προσώπου σοῦ φαγῇ τὸν ἄρ-

τον σοῦ, ἕως τοῦ ἀποστρέψαι σε εἰς τὴν γῆν ἐξ ἧς ἐλήφθης· ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπολεύσῃ. Καὶ ἐκάλεσεν Ἀδὰμ τὸ ὄνομα τῆς γυναικὸς αὐτοῦ Ζωὴ, ὅτι μήτηρ πάντων τῶν ζώντων.

Καὶ ἐποίησε κύριος ὁ Θεὸς τῷ Ἀδὰμ καὶ τῇ γυναικὶ αὐτοῦ χιτῶνας δερματίνους, καὶ ἐνέδυσεν αὐτούς. Καὶ εἶπεν ὁ Θεός. ! ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν, τοῦ γινώσκειν καλὸν καὶ πονηρόν!!!.

. . . .

Καὶ νῦν μή ποτε ἐκτείνῃ τὴν χεῖρα αὐτοῦ, καὶ λάβῃ ἀπὸ τοῦ ξύλου τῆς ζωῆς καὶ φάγῃ, καὶ ζήσεται εἰς τὸν αἰῶνα. Καὶ ἐξαπέστειλεν αὐτὸν ὁ Θεὸς ἐκ τοῦ παραδείσου τῆς τρυφῆς ἐργάζεσθαι τὴν γῆν ἐξ ἧς ἐλήφθη. Καὶ ἐξέβαλε τὸν Ἀδὰμ, καὶ κατῴκισεν αὐτὸν ἀπέναντι τοῦ παραδείσου τῆς τρυφῆς. Καὶ ἔταξε τὰ Χερουβὶμ καὶ τὴν φλογίνην ῥομφαίαμ τὴν στρεφομένην φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς. Γεν. κεφάλ. γ΄.

CAPUT VI. De nomine.

Ὄνομα ἐστιν μέρος λόγου κλιτὸν σημαντικὸν οὐσίας κοινῆς καὶ ἰδίας τῶν ὑποκειμένων σωμάτων τὲ καὶ πραγμάτων. Παρέπονται δὲ αὐτῷ πέν-

τε· γένος, ἀριθμὸς, πτῶσις, σχῆμα, εἶδος. Γένη μὲν εἰσὶ πέντε· ἀρσενικὸν, οἷον ὁ ἀγαθός· θηλυκὸν, οἷον ἡ ἀγαθή· οὐδέτερον οἷον τὸ ἀγαθόν· κοινὸν, οἷον ὁ καὶ ἡ ἄνθρωπος· ἐπίκοινον, ὁ ἀετὸς, καὶ ἡ χελιδών· ὅπερ μιᾷ φωνῇ, καὶ ἑνὶ ἄρθρῳ ἀρσενικῷ ἢ θηλυκῷ δουλοῖ τὰ δύο γένη. Ἀριθμοὶ δὲ τρεῖς· ἑνικὸς, οἷον ὁ ἀγαθός· δυϊκὸς, οἷον τὼ ἀγαθώ· πληθυντικὸς, οἷον οἱ ἀγαθοί. Πτώσεις δὲ πέντε· ὀνομαστικὴ, γενικὴ, δοτικὴ, αἰτιατικὴ, καὶ κλητική· ὧν ὀρθαὶ καὶ εὐθεῖαι δύο καλοῦνται· ὀνομαστικὴ καὶ κλητικὴ, ὀρθῶς γὰρ ἱστάμεναι, ὀρθὴν τὴν οὐσίαν σημαίνουσιν· αἱ ἄλλαι δὲ πλάγιαι. Σχήματα δὲ τρία. ἁπλοῦν, οἷον ἵππος· σύνθετον, οἷον Φίλιππος· παρασύνθετον, οἷον Φιλιππίδης· Εἴδη δὲ δύο· πρωτότυπον, οἷον μέγας· παράγωγον, οἷον μεγαλόψυχος.

Τῶν ὀνομάτων, τὰ μὲν κλίνονται ἰσοσυλλάβως. οἷον Αἰνείας, Αἰνείου· τὰ δὲ περιττοσυλλάβως, οἷον Αἴας, Αἴαντος· καὶ τὰ μὲν ἰσοσύλλαβα κλίνονται τετραχῶς, τὰ δὲ περιττοσύλλαβα μοναχῶς· διὸ καὶ πέντε κλίσεις εἰσὶν, ὧν ἡ μὲν πρώτη καλεῖται, ἡ δὲ δευτέρα, ἡ δὲ τρίτη ἡ δὲ

τετάρτη· ἡ δὲ πέμπτη περιττοσύλλαβος.

Prima Declinatio.

Πρώτη καὶ δευτέρα κλίσις. Πρώτη κλίσις ἐστὶ τῶν ἰσοσυλλάβων ἀρσενικῶν ὀνομάτων εἰς ας ληγόντων, καὶ εἰς ης ἀρσενικῶν καὶ κοινῶν, ὧν ἡ γενικὴ εἰς ου, ἡ δοτικὴ εἰς ᾳ, ἢ εἰς ῃ κατὰ τὸ φωνῆεν τῆς ὀνομαστικῆς, ἡ αἰτιατικὴ εἰς ν μετὰ τοῦ φωνήεντος τῆς ὀνομαστικῆς.

Εὑρήσεις δὲ παρὰ ποιηταῖς ὀνομαστικὰς τῶν εἰς ας καὶ εἰς ης ὀνομάτων τῆς πρώτης κλίσεως ὁμοίας ταῖς αὐτῶν κλητικαῖς, ληγούσας εἰς α βραχὺ ἔθει αἰολικῷ καὶ βοιωτικῷ καὶ θεσσαλικῷ· οἷον Ὑβραγόρα ἀντὶ Ὑβραγόρας, Θυέστα ἀντὶ Θυέστης, νεφεληγερέτα ἀντὶ νεφεληγερέτης, μητιέτα ἀντὶ μητιέτης, ἠχέτα ἀντὶ ἠχέτης, ἱππότα ἀντὶ ἱππότης.

Δευτέρα κλίσις ἐστὶ τῶν ἰσοσυλλάβων θηλυκῶν ὀνομάτων εἰς α καὶ εἰς η ληγόντων, ὧν ἡ γενικὴ εἰς ης, ἡ δοτικὴ εἰς ῃ, καὶ αἰτιατικὴ εἰς ν μετὰ τοῦ φωνήεντος τῆς ὀνομαστικῆς.

Σημείωσαι ὅτι μόνα τὰ εἰς α μακρὸν, καὶ εἰς

α καθαρὸν, καὶ εἰς ρα, καὶ εἰς δα, καὶ εἰς θα λήγοντα ὀνόματα θηλυκὰ φυλάττουσι τὸ α ἐπὶ τῆς γενικῆς καὶ δοτικῆς, οἷον Ἀθηνᾶ, Ἀθηνᾶς, Ἀθηνᾷ· Μαῖα, Μαίας, Μαίᾳ· ἡμέρα, ἡμέρας, ἡμέρᾳ· Λήδα, Λήδας, Λήδᾳ· Μάρθα, Μάρθας, Μάρθᾳ.

Τὰ δὲ ἄλλα πάντα τρέπουσι τὸ α εἰς η ἐπὶ τῆς γενικῆς καὶ δοτικῆς, οἷον μοῦσα, μούσης, μούσῃ· δίψα, δίψης, δίψῃ· πεῖνα, πεῖνης, πείνῃ. Κωνστ. Λασκ. Γραμμ.

Exercitatio.

1 Τέχνη ἐστὶν ἀνθρώποις ἀτύχιας λιμήν. 2 Πᾶσι βροτοῖς τιμὴ πέφυκε παιδεία. 3 Ἀνθρώποις γὰρ νόσον τίκτουσι λῦπαι. 4 Ὀργὴ δὲ πολλοὺς δρᾶν κακὸν ἀναγκάζει. 5 Πενίαν έφρειν οὐ παντὸς ἀλλ' ἀνδρὸς σοφοῦ. 6 Βακτήρια γάρ ἐστι βίου παιδεία. 7 Ὑπερηφανία μέγιστον ἀνθρώποις κακόν. 8 Ψυχῆς νοσούσης φάρμακον ἐστὶ λόγος. 9 Θάλασσα καὶ πῦρ καὶ γυνὴ τρίτον κακόν. 10 Βουλῆς γὰρ ὀρθῆς οὐδὲν ἀσφαλέστερον. 11 Ἀλαζονείας οὔτις ἐκφεύγει δίκην. 12 Ὁ μέντοι Ἀστυάγης ἐπεὶ ἔγνω Κῦρον λυπούμενον ἰσχυρῶς, βουλόμενος αὐτῷ χαρίζεσθαι, ἐξάγει ἐπὶ θήραν.

Achilles.

Ὡς δὲ ἐγέννησε Θέτις ἐκ Πηλέως βρέφος, ἀθάνατον θέλουσα ποιῆσαι τοῦτο, κρύφα Πηλέως εἰς τὸ πῦρ ἐγκρύβουσα τῆς νυκτὸς, ἔφθειρεν ὃ ἦν αὐτῷ θνητὸν πατρῷον· μεθ' ἡμέραν δὲ ἔχριεν ἀμβροσίᾳ. Πηλεὺς δὲ ἐπιτηρήσας, καὶ ἀσπαίροντα τὸν παῖδα ἰδὼν ἐπὶ τοῦ πυρὸς, ἐβόησε· καὶ Θέτις κωλυθεῖσα τὴν προαίρεσιν τελειῶσαι, νήπιον τὸν παῖδα ἀπολιποῦσα, πρὸς Νηρεΐδας ᾤχετο. Κομίζει δὲ τὸν παῖδα πρὸς Χείρωνα Πηλεύς· ὁ δὲ λαβὼν αὐτὸν ἔτρεφε σπλάγνοις λεόντων καὶ συῶν ἀγρίων καὶ ἄρκτων μυελοῖς· καὶ ὠνόμασεν Ἀχιλλέα· πρότερον μὲν ἦν ὄνομα αὐτῷ Λιγύρων· ὅτι τὰ χείλη μαστοῖς οὐ προςήνεγκε. Ἀπολλοδωρ·

Exercitatio.

1 Θῆβαις ἐγένοντο προστάται φιλόσοφοι. 2 Κάλπης λιμήν ἐστιν μὲν ἐν τῇ Θράκῃ τῇ ἐν τῇ Ἀσίᾳ. 3 Ποσειδῶν δὲ Ἀμφιτρίτην τὴν Ὠκεανοῦ γαμεῖ· καὶ αὐτῷ γίνεται Τρίτων, καὶ Ῥόδη, ἣν Ἥλιος ἔγημε. 4 Λιβύης δὲ καὶ Ποσειδῶνος γίνονται παῖδες δίδυμοι, Ἀγήνωρ καὶ Βῆλος. 5 Ἡρακλῆς δὲ παραγενόμενος εἰς Καλυδῶνα, τὴν Οἰνέως θυγατέρα Δηϊάνειραν ἐμνηστεύσατο. 6

Κύκλωπας μὲν Οὐρανὸς δήσας, εἰς Τάρταρον ἔῤῥιψε· τόπος δὲ οὗτος ἐρεβώδης ἐστὶν ἐν ᾅδου, τοσοῦτον ἀπὸ γῆς ἔχων διάστημα, ὅσον ἀπ' οὐρανοῦ γῆ. 7 Καλλίας ὁ Ἱπονίκου τῶν Ἀθηναίων ὁπλιτῶν ἦν στρατηγῶν, καὶ Ἰφικράτης τῶν πελταστῶν ἄρχων. 8 Κρήνη ἦν παρὰ τὴν ὁδὸν ἡ Μίδου καλουμένη τοῦ Φρυγῶν βασιλέως, ἐφ' ᾗ λέγεται Μίδας τὸν Σάτυρον θηρεῦσαι οἴνῳ κεράσας αὐτήν.

Melampus.

Ἀμυθάων μὲν οὖν οἰκῶν Πύλον, Εἰδομένην γαμεῖ τὴν Φέρητος, καὶ γίνονται παῖδες αὐτῷ Βίας καὶ Μελάμπους, ὃς ἐπὶ τῶν χωρίων διατελῶν, οὔσης πρὸ τῆς οἰκήσεως αὐτοῦ δρυὸς, ἐν ᾗ φωλεὸς ὄφεων ὑπῆρχεν, ἀποκτεινάντων τῶν θεραπόντων τοὺς ὄφεις, τὰ μὲν ἑρπετὰ, ξύλα συμφορήσας, ἔκαυσε, τοὺς δὲ τῶν ὄφεων νεοσσοὺς ἔθρεψεν· οἱ δὲ γενόμενοι τέλειοι, περιστάντες αὐτῷ κοιμωμένῳ τῶν ὤμων ἐξ ἑκατέρου, τὰς ἀκοὰς ταῖς γλώσσαις ἐξεκάθαιρον. Ὁ δὲ ἀναστὰς, καὶ γενόμενος περιδεὴς, τῶν ὑπερπετομένων ὀρνέων τὰς φωνὰς συνίει· καὶ παρ' ἐκείνων μανθάνων, προὔλεγε τοῖς ἀνθρώποις τὰ μέλλοντα. Προσέλαβε δὲ καὶ τὴν ἐπὶ τῶν ἱε-

ρῶν, μαντικήν. Περὶ δὲ τὸν Ἀλφειὸν συντυχὼν Ἀπόλλωνι, τὸ λοιπὸν ἄριστος ἦν μάντις. Ἀπολλοδώρου Βιβλιοθήκη.

Secunda Declinatio.

Τρίτη καὶ τετάρτη κλίσις. Τρίτη κλίσις ἐστὶ τῶν ἰσοσυλλάβων ἀρσενικῶν καὶ θηλυκῶν, κοινῶν, καὶ ἐπικοίνων ὀνομάτων, ἀττικῶν ληγόντων εἰς ως καὶ οὐδετέρων εἰς ων· ὧν ἡ γενικὴ εἰς ω, ἡ δοτικὴ εἰς ῳ, ἡ αἰτιατικὴ εἰς ν μετὰ τοῦ φωνήεντος τῆς ὀνομαστικῆς· οἷον ὁ Μενέλεως, τοῦ Μενέλεω, τῷ Μενέλεῳ, τὸν Μενέλεων. Σημειώση δὲ ὅτι οἱ Ἀττικοὶ τῶν εἰς ος καθαρὸν κοινῶν ὀνομάτων τῆς τετάρτης κλίσεως τὴν λήγουσαν ἐκτείνοντες, καὶ τὴν παραλήγουσαν συστέλλοντες, σχηματίζουσι τὰ εἰς ως, φυλάττοντες τὸν αὐτὸν τόνον· οἷον ὁ Μενέλαος, Μενέλεως· ἐξαιρεῖται ὁ κάλος, κάλως, ὁ τάλος, τάλως τὴν αὐτὴν φυλάξαντες παραλήγουσαν· καὶ ὁ ὄρφος, ὀρφὼς, καὶ ὁ λάγος, λαγὼς μετήλλαξαν τὸν τόνον.

Τετάρτη κλίσις ἐστὶ τῶν ἰσοσυλλάβων ἀρσενικῶν καὶ θηλυκῶν, κοινῶν, καὶ ἐπικοίνων ὀνομάτων, ληγόντων εἰς ος, καὶ οὐδετέρων εἰς ον· ὧν ἡ

γενικὴ εἰς ου, ἡ δοτικὴ εἰς ῳ, ἡ αἰτιατικὴ εἰς ν μετὰ τοῦ φωνήεντος τῆς ὀνομαστικῆς· οἷον ὁ λόγος, τοῦ λόγου, τῷ λόγῳ, τὸν λόγον. Σημείωσαι· ὅτι ἐν τοῖς οὐδετέροις ὀνόμασι τρεῖς πτώσεις εἰσὶν ὅμοιαι ἐν παντὶ ἀριθμῷ· ὀνομαστικὴ, αἰτιατικὴ, καὶ κλητική. Κωνστ. Λασκ. Γραμμ.

Exercitatio.

1 Ἀνδρὸς πονηροῦ φεῦγε συνοδίαν ἀεί. 2 Καλὸν φέρουσι καρπὸν οἱ κακοῖ φίλοι. 3 Λιμὸς μέγιστον ἄλγος ἀνθρώποις ἔφυ. 4 Μακάριος ὅστις οὐσίαν καὶ νοῦν ἔχει. 5 Νόμος γονεῦσιν ἰσοθέους τιμὰς νέμειν. 6 Βροτοῖς ἅπασι ἡ συνείδησις Θεός. 7 Χρόνος δίκαιον ἄνδρα δεικνύει μόνος. 8 Ἄνδρες φίλοι καὶ σύμμαχοι, τοῖς μὲν Θεοῖς μεγίστη χάρις ὅτι ἔδοσαν ἡμῖν τυχεῖν ὧν ἐνομίζομεν ἄξιοι εἶναι. 9 Ὠκεανοῦ καὶ Τηθύος γίνεται παῖς Ἴναχος, ἀφ' οὗ ποταμὸς ἐν Ἄργει Ἴναχος καλεῖται. 10 Ἡσίοδος δὲ φησιν αὐτόχθονα εἶναι τὸν Πελασγόν. 11 Ὁ Κέρβερος, ὁ τοῦ ᾅδου φρουρὸς, εἶχε τρεῖς μὲν κυνῶν κεφαλὰς, τὴν δὲ οὐρὰν δράκοντος, κατὰ δὲ τοῦ νώτου παντοίων ὄφιων κεφαλάς.

Musæ.

Αἱ Μοῦσαι Διὸς καὶ Μνημοσύνης θυγατέρες εἰ-

ναι λέγονται. Ἡσίοδος τὰ ὀνόματα αὐτῶν ἀποφαίνεται οὕτως·

Κλειώ τ' Εὐτέρπη τε, Θάλειά τε Μελπομένη τε
Τερψιχόρη τ' Ἐρατώ τε, Πολύμνιά τ' Οὐρανίη τε
Καλλιόπη θ'· ἣ δὲ προφερεστάτη ἐστὶν ἁπασέων.

Διοδώρ. τῆς Σικ.

Bellerophon.

Βελλεροφόντης δὲ ὁ Γλαύκου τοῦ Σισύφου, κτείνας ἀκουσίως ἀδελφὸν Δηλιάδην, ὡς δὲ τινές φασι, Πειρῆνα, ἄλλοι δὲ Ἀλκιμένην, πρὸς Προῖτον ἐλθὼν καθαίρεται· καὶ αὐτοῦ Σθενέβοια ἔρωτα ἴσχει καὶ προςπέμπει λόγους περὶ συνουσίας. Τοῦ δὲ ἀπαρνουμένου, λέγει πρὸς Προῖτον, ὅτι Βελλεροφόντης αὐτῇ περὶ φθορᾶς προςεπέμψατο λόγους. Προῖτος δὲ πιστεύσας, ἔδωκεν ἐπιστολὰς αὐτῷ πρὸς Ἰοβάτην κομίσειν, ἐν αἷς ἐνεγέγραπτο Βελλεροφόντην ἀποκτεῖναι. Ἰοβάτης δὲ ἐπιγνοὺς, ἐπέταξεν αὐτῷ Χίμαιραν κτεῖναι, νομίζων αὐτὸν ὑπὸ τοῦ θηρίου διαφθαρήσεσθαι· ἦν γὰρ οὐ μόνον ἑνὶ, ἀλλὰ πολλοῖς οὐκ εὐάλωτον· εἶχε δὲ προτομὴν μὲν λέοντος, οὐρὰν δὲ δράκοντος, τρίτην δὲ κεφαλὴν, μέσην αἰγὸς, δι' ἧς πῦρ ἀνίει· καὶ τὴν χώραν δι-

ἔφθειρε, καὶ τὰ βοσκήματα ἐλυμαίνετο· μία γὰρ φύσις τριῶν θηρίων εἶχε δυνάμιν. Λέγεται δὲ καὶ τὴν Χίμαιραν ταύτην τραφῆναι μὲν ὑπὸ Ἀμισωδάρου, καθάπερ εἴρηκε καὶ Ὅμηρος, γεννηθῆναι δὲ ἐκ Τυφῶνος καὶ Ἐχίδνης, καθῶς Ἡσίοδος ἱστορεῖ.

Ἀναβιβάσας οὖν ἑαυτὸν ὁ Βελλεροφόντης ἐπὶ τὸν Πήγασον, ὃν εἶχεν ἵππον ἐκ Μεδούσης πτηνὸν γεγεννημένον καὶ Ποσειδῶνος, ἀρθεὶς εἰς ὕψος, ἀπὸ τούτου κατετόξευσε τὴν Χίμαιραν· Μετὰ δὲ τὸν ἀγῶνα τοῦτον ἐπέταξεν αὐτῷ Σολύμοις μαχέσασθαι· ὡς δὲ ἐτελεύτησε καὶ τοῦτον, Ἀμαζόσιν ἐπέταξεν ἀγονίζεσθαι αὐτὸν. Ὡς δὲ καὶ ταύτας ἀπέκτεινε, τοὺς τῇ νεότητι Λυκίων διαφέρειν δοκοῦντας ἐπιλέξας, ἐπέταξεν ἀποκτεῖναι λοχήσαντας· ὡς δὲ καὶ τούτους ἀπέκτεινε πάντας, θαυμάσας τὴν δύναμιν αὐτοῦ ὁ Ἰοβάτης, τά τε γράμματα ἔδειξε, καὶ παρ' αὐτῷ μένειν ἠξίωσε, δοὺς τὴν θυγατέρα Φιλονόην· καὶ θνήσκων, τὴν βασιλείαν κατέλιπεν αὐτῷ. Ἀπολλοδώρ. Βιβλιοθηκ.

Tertia Declinatio.

Πέμπτη κλίσις. Πέμπτη κλίσις ἐστὶ πάντων τῶν περιττοσυλλάβων ὀνομάτων, ἀρσενικῶν καὶ

θηλυκῶν καὶ οὐδετέρων, κοινῶν καὶ ἐπικοίνων, διαφόρους καταλήξεις ἐχόντων, ὧν ἡ γενικὴ εἰς ος ἡ δοτικὴ εἰς ι, καὶ ἡ αἰτιατικὴ εἰς α· οἷον Αἴας, τοῦ Αἴαντος, τῷ Αἴαντι, τὸν Αἴαντα, ὦ Αἴαν κοινῶς, καὶ ὦ Αἴας ἀττικῶς. Καὶ ταῦτα μὲν περὶ τῶν ἁπλῶν κλίσεων, εἶτα δὲ περὶ τῶν συνηρημένων λέξομεν·

Exercitatio.

1 Χαρακτὴρ ἀνδρὸς ἐκ λόγου γνωρίζεται. 2 Βροτοῖς ἅπασιν ἀποθανεῖν ὀφείλεται. 3 Γέλως ἄκαιρος ἐν βροτοῖς δεινὸν κακόν. 4 Κέρδος πονηρὸν μηδέποτε βούλου λαβεῖν. 5 Ξίφος τιτρώσκει σῶμα, τὸν δὲ νοῦν λόγος. 6 Πατὴρ οὐχ ὁ γεννήσας, ἀλλ' ὁ σε θρέψας· 7 Φθείρουσι ἤθη χρήσθ' ὁμιλίαι κακαί. 8 Τρίχας μὲν ἔχει τῶν ζώων ὅσα πεζὰ καὶ ζωοτόκα, φολίδας δὲ ὅσα πεζὰ καὶ ὠοτόκα, λεπίδας δ' ἰχθύες μόνοι, ὅσοι ὠοτοκοῦσι τὸ ψαθυρὸν ὠόν. 9 Μεταβάλλουσι δ' ἔνια τῶν ζώων τὰς χρόας τῶν τριχῶν κατὰ τὰς τῶν ὑδάτων μεταβολάς· ἔνθα μὲν γὰρ λευκὰ γίνονται, ἔνθα δὲ μέλανα. 10 Ἐνυπνιάζειν φαίνονται οὐ μόνον ἄνθρωποι, ἀλλὰ καὶ ἵπποι καὶ κύνες καὶ βόες, ἔτι δὲ πρόβατα καὶ αἶγες καὶ πᾶν τὸ τῶν ζωοτόκων καὶ τετραπόδων·

γένος. 11 Ὁ δὲ γὺψ νεοττεύει μὲν ἐπὶ πέτραις ἀπροσβάτοις· διὸ σπάνιον ἰδεῖν νεοττείαν γυπὸς καὶ νεοττούς· καὶ διὰ τοῦτο Ἡρόδωρος ὁ Βρύσωνος τοῦ σοφιστοῦ πατὴρ φῆσιν εἶναι τοὺς γύπας ἀφ' ἑτέρας γῆς ἀδήλου ἡμῖν.

Sisyphus.

Σίσυφος δὲ Αἰόλου κτίσας Ἐφύραν τὴν νῦν λεγομένην Κόρινθον γαμεῖ Μερόπην τὴν Ἄτλαντος· ἐξ αὐτῶν παῖς γίνεται Γλαῦκος, ᾧ παῖς Βελλεροφόντης ἐξ Εὐρυμέδης ἐγεννήθη· ὃς ἔκτεινε τὴν πυρίπνουν Χίμαιραν· Κολάζεται δὲ Σίσυφος ἐν ᾅδου, πέτρον ταῖς χερσὶ καὶ τῇ κεφαλῇ κυλίων, καὶ τοῦτον ὑπερβάλλειν θέλων· οὗτος δὲ ὠθούμενος ὑπ' αὐτοῦ, ὠθεῖται πάλιν εἰς τοὐπίσω. Τίνει δὲ ταύτην τὴν δίκην διὰ τὴν Ἀσωποῦ θυγατέρα Αἴγιναν· ἁρπάσαντα γὰρ αὐτὴν κρύφα τὸν Δία Ἀσωπῷ μηνύσαι ζητοῦντι λέγεται. Ἀπολλοδώρ.

Linguæ ignitæ: Judæorum confusio.

Ἦσαν ἐν Ἱερουσαλὴμ κατοικοῦντες Ἰουδαῖοι, ἄνδρες εὐλαβεῖς ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανόν· γενομένης δὲ τῆς φωνῆς ταύτης, συνῆλθεν

τὸ πλῆθος καὶ συνεχύθη, ὅτι ἤκουον εἷς ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν λαλούντων. Ἐξίσταντο δὲ πάντες καὶ ἐθαύμαζον λέγοντες. Οὐχὶ ἰδοὺ ἅπαντες οὗτοι οἱ λαλοῦντές εἰσιν Γαλιλαῖοι; Καὶ πῶς ἡμεῖς ἀκούομεν ἕκαστος τὴν διάλεκτον ἡμῶν ἐν ᾗ ἐγεννήθημεν, Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται, καὶ οἱ κατοικοῦντες τὴν Μεσοποταμίαν, Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόντον καὶ τὴν Ἀσίαν, Φρυγίαν τε καὶ Παμφυλίαν, Αἴγυπτον καὶ τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην, καὶ οἱ ἐπιδημοῦντες Ῥωμαῖοι, Ἰουδαῖοί τε καὶ προσήλυτοι, Κρῆτες καὶ Ἄραβες, ἀκούομεν λαλούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ μεγαλεῖα τοῦ Θεοῦ; Τί θέλει τοῦτο εἶναι; Πράξεις τῶν Ἀποστ.

De contractis nominibus.

Περὶ τῶν συνῃρημένων κλίσεων. Εἰσὶ καὶ ἄλλαι πέντε κλίσεις συνῃρημέναι καλούμεναι, ἀπὸ τῆς πέμπτης κλίσεως κατὰ συναίρεσιν καὶ κρᾶσιν γινόμεναι. Συναίρεσις μέν ἐστι δύο φωνηέντων φυλαττομένων συναλοιφή· οἷον Δημοσθένεα, η· ἢ τοῦ ἑνὸς, οἷον Δημοσθένεος, ους.

Πρώτη κλίσις. Πρώτη κλίσις ἐστὶ τῶν συνῃρη-

μένων ἀρσενικῶν καὶ θηλυκῶν καὶ κοινῶν ὀνομάτων, ληγόντων εἰς ης· καὶ οὐδετέρων εἰς ες, καὶ εἰς ος· ὧν ἡ γενικὴ, διὰ τοῦ εος οὖσα ἰωνικῶς, εἰς ους κοινῶς κιρνᾶται· οἷον ὁ Δημοσθένης, ἡ τριήρης, ὁ καὶ ἡ ἀληθὴς καὶ τὸ ἀληθὲς, τὸ τεῖχος.

Δευτέρα κλίσις. Δευτέρα κλίσις ἐστὶ τῶν συνῃρημένων ἀρσενικῶν καὶ θηλυκῶν, κοινῶν καὶ ἐπικοίνων ὀνομάτων εἰς ις ληγόντων, καὶ οὐδετέρων εἰς ι· ὧν ἡ γενικὴ διὰ τοῦ ιος κοινῶς, καὶ εος ἰωνικῶς, καὶ εως ἀττικῶς γίνεται· οἷον ὁ ὄφις, ἡ πόλις, τὸ σίνηπι. Σημείωσαι δὲ ὅτι συναιρουμένης τῆς ἑνικῆς γενικῆς, ὥσπερ ἐπὶ τῆς πρώτης κλίσεως συναιρεῖται καὶ ἡ γενικὴ δυϊκὴ, καὶ πληθυντικὴ. ἐκείνης δὲ μὴ συναιρουμένης ὥσπερ ἐπὶ τῆς δευτέρας κλίσεως, οὐδὲ αὗται συναιροῦνται.

Τρίτη κλίσις. Τρίτη κλίσις ἐστὶ τῶν συνῃρημένων ἀρσενικῶν ὀνομάτων εἰς ευς ληγόντων· ὧν ἡ γενικὴ διὰ τοῦ εος κοινῶς, καὶ ηος ἰωνικῶς, καὶ εως ἀττικῶς γίνεται· οἷον ὁ βασιλεύς.

Τετάρτη κλίσις. Τετάρτη κλίσις ἐστὶ τῶν συνῃρημένων θηλυκῶν ὀνομάτων εἰς ω καὶ εἰς ως ληγόντων· ὧν ἡ γενικὴ διὰ τοῦ οος οὖσα, εἰς ους κατὰ κρᾶσιν γίνεται· οἷον ἡ Λητὼ, ἡ αἰδώς.

Πέμπτη κλίσις. Πέμπτη κλίσις ἐστὶ τῶν συνῃρημένων οὐδετέρων ὀνομάτων εἰς ας καὶ εἰς ρας ληγόντων· ὧν ἡ γενικὴ διὰ τοῦ ατος κοινῶς, καὶ αος ἰωνικῶς, καὶ εως ἀττικῶς γίνεται· οἷον τὸ χρέας, τὸ κέρας.

Σημείωσαι· ὅτι τὰ εἰς οος ὀνόματα συναιροῦνται ἐν πάσαις ταῖς πτώσεσιν· οἷον ὁ νόος, ὁ πλόος. Ἔτι συναιροῦνται καὶ τὰ εἰς υς καὶ υ, ὀξύτονα καὶ βαρύτονα· οἷον ὁ ἡδὺς, ὁ βότρυς, ἡ ναῦς, τὸ δάκρυ. Κωστ. Λασκ. Γραμμ.

Exercitatio.

1 Ἥφαιστος τὼ πόδε χωλὸς ἦν. 2 Ἡ ὀργὴ καὶ ἡ ἀσυνεία, δύο μεγίστω κακὼ, πολλοὺς ἀπώλησαν. 3 Ἀκήκοε τῶν ὁδοιπόρων τις, ὅτι λῃστεύεται ἡ ὁδός. 4 Οἱ μὲν νέοι τὰ ἤθη εἰσὶν ἐπιθυμητικοὶ, καὶ οἷοι ποιεῖν ὧν ἂν ἐπιθυμήσωσι. 5 Ἀνὴρ Συβαρίτης, εἰς ἀγρόν ποτε πορευόμενος, ἔφη, ἰδὼν τοὺς ἐργάτας σκάπτοντας, αὐτὸς ῥῆμα λαβεῖν. 9 Ἡ Μήδεια γράφεται τὼ παῖδε δεινὸν ὑποβλέπουσα· ἔχει δὲ ξίφος ἐν χερσί· τὼ δὲ ἀθλίω κάθησθον γελῶντε, μηδὲν τῶν μελλόντων εἰδότε καὶ ταῦτα ὁρῶντε τὸ ξίφος ἐν ταῖν χεροῖν τῆς μητρός. 7 Χαρίξενος ὁ Σικυώνιος φίλος ἦν Εὐδαμί-

χρείαν καὶ κατηναγκασμένην ἐνεργῶν εἰς ἀνθρώπων εὐεργεσίαν.

Ὁ δὲ καλούμενος ἵππος τῷ μεγέθει μέν ἐστιν οὐκ ἐλάττων πηχῶν πέντε· τετράπους δ' ὢν καὶ δίχηλος παραπλησίως τοῖς βουσὶ, τοὺς χαυλιόδοντας ἔχει μείζους τῶν ἀγρίων ὑῶν, τρεῖς ἐξ ἀμφοτέρων τῶν μερῶν· ὦτα δὲ καὶ κέρκον καὶ φωνὴν ἵππῳ παρεμφερῆ, τὸ δ' ὅλον κύτος τοῦ σώματος οὐκ ἀνόμοιον ἐλέφαντι, καὶ δέρμα πάντων σχεδὸν τῶν θηρίων ἰσχυρότατον. Ποτάμιον γὰρ ὑπάρχον καὶ χερσαῖον, τὰς μὲν ἡμέρας ἐν τοῖς ὕδασι διατρίβει γυμναζόμενον κατὰ βάθους, τὰς δὲ νύκτας ἐπὶ χώρας κατανέμεται τόν τε σῖτον καὶ τὸν χόρτον. Ὥς τε εἰ πολύτεκνον ἦν τοῦτο τὸ ζῶον καὶ κατ' ἐνιαυτὸν ἔτικτεν, ἐλυμαίνετο ἂν ὁλοσχερῶς τὰς γεωργίας τὰς κατ' Αἴγυπτον. Ἁλίσκεται δὲ καὶ τοῦτο τὸ ζῶον πολυχειρίᾳ τῶν τυπτόντων τοῖς σιδηροῖς ἐμβολίοις. Ὅπου γὰρ ἂν φανῇ, συνάγουσιν ἐπ' αὐτὸ πλοῖα, καὶ περιστάντες κατατραυματίζουσιν ὥσπέρ τισι κοπεῦσιν ἐπὶ σιδηροῖς ἀγκίστροις, εἶθ' ἑνὶ τῶν ἐμπαγέντων ἐνάπτοντες ἀρχὰς στυπίνας, ἀφιᾶσι μέχρις ἂν ὅτου παραλυθῇ, γενόμενον ἔξαιμον. Τὴν μὲν οὖν σάρκα σκληρὰν

ἔχει καὶ δύσπεπτον· τῶν δ' ἔντοσθεν οὐδὲν ἐδώδιμον, οὔτε σπλάγχνον, οὔτ' ἐγκοίλιον. Διοδώρ.

CAPUT VII. De speciebus nominum.

Περὶ τῶν ὑποπεπτωκότων εἰδῶν τῷ ὀνόματι.

Ἔτι τῶν ὀνομάτων τὰ μὲν κύρια καλοῦνται, οἷον Σωκράτης, Πλάτων· τὰ δὲ προσηγορικὰ, οἷον ὁ καὶ ἡ παρθένος. Τὰ δὲ πρός τι, οἷον πατὴρ, υἱὸς, δοῦλος, δεσπότης· τὰ δὲ ὡς πρός τι, οἷον νὺξ, ἡμέρα, θάνατος, ζωή. Τὰ δὲ περιληπτικὰ, οἷον δῆμος, χορὸς, ὄχλός· τὰ δὲ περιεκτικὰ, οἷον δαφνὼν, κοιτὼν, ἐλαιών· τὰ δὲ ὡς περιεκτικὰ, οἷον ἀπατεὼν, κυκεών. Τὰ δὲ πεποιημένα, οἷον φλοῖσβος, ῥοῖζος· τὰ δὲ γενικὰ, οἷον ζῶον, φυτόν· τὰ δὲ εἰδικὰ, οἷον βοῦς, ἵππος, κύων. Τὰ δὲ ἀπολελυμένα, οἷον θεὸς, λόγος, ἄγγελος· τὰ δὲ ἐθνικὰ, οἷον Φρὺξ, Πέρσης.

Τὰ δὲ ὁμώνυμα, οἷον Αἴας ὁ τοῦ Τελαμῶνος, καὶ Αἴας ὁ τοῦ Ὀϊλέως· τὰ δὲ συνώνυμα, εἴτε πολυώνυμα, οἷον ἄορ, ξίφος, σπάθη, μάχαιρα, φάσγανον· τὰ δὲ φερώνυμα, οἷον μεγαπένθης· τὰ δὲ διώνυμα, οἷον Ἀλέξανδρος ὁ καὶ Πάρις, Σκάμαν-

δρος ὁ καὶ Ξάνθος· τὰ δὲ ἐπώνυμα, οἷον Ἐνοσίχθων ὁ Ποσειδῶν, καὶ Φοῖβος ὁ Ἀπόλλων.

De Patronymicis.

Περὶ πατρωνυμικῶν. Πατρωνυμικὸν ὄνομα κυρίως ἐστὶ τὸ ἀπὸ πατρὸς ἐσχηματισμένον, καὶ υἱὸν πατρὸς σημαίνει, οἷον ἀπὸ τοῦ Πηλεὺς Πηλείδης, ὁ Ἀχιλλεύς· καταχρηστικῶς δὲ καὶ ἀπὸ τοῦ πάππου λέγεται, οἷον ἀπὸ τοῦ Αἰακὸς Αἰακίδης, ὁ αὐτός. Τούτου δὲ τὰ μὲν ἀρσενικὰ, τὰ δὲ θηλυκά· καὶ τῶν μὲν ἀρσενικῶν τρεῖς καταλήξεις εἰσί· δης κοινὴ, οἷον Πηλείδης· ων ἰωνικὴ, οἷον Πηλείων· αδιος, οἷον Ὑῤῥάδιος. Ὅτε ἡ γενικὴ τοῦ ὀνόματος λήγει εἰς ως, ἢ εἰς ους, ἢ εἰς ος, τότε εἰς δης κοινῶς σχηματίζεται τὸ πατρωνυμικόν· Πηλεὺς έως, Πηλείδης· Δημοσθένης ένους, Δημοσθενίδης· Ἀγαμέμνων ονος, Ἀγαμεμνονίδης. Ἔτι εἰ ἡ γενικὴ λήγει εἰς ου, τῆς τετάρτης κλίσεως οὖσα, μὴ παραληγομένη τῷ ι, εἰς ιδης σχηματίζεται τὸ πατρωνυμικόν· οἷον Πρίαμος ου, Πριαμίδης· Τάνταλος ου, Ταντααλίδης· εἰ δὲ αὕτη παραλήγει τὸ ι, εἰς αδης σχηματίζεται τὸ πατρωνυμικὸν, οἷον ἥλιος ου, ἡλιάδης· ἔτι τὰ τῆς πρώτης κλίσεως εἰς αδης σχηματίζουσιν, οἷον Αἰνείας ου,

Αἰνειάδης· Ἱππότης, ου, Ἱπποτάδης. Πᾶν δὲ πατρωνυμικὸν παραλήγει ἢ ι, οἷον Κρονίδης, ἢ οι διφθόγγῳ κατὰ συναίρεσιν, οἷον Πανθοίδης.

Τῶν δὲ θηλυκῶν τρεῖς καταλήξεις εἰσίν· ας, ις, νη, καὶ αἱ μὲν εἰς ας καὶ ις ἀπὸ τῶν ἰδίων ἀρσενικῶν σχηματίζονται ἀποβολῇ τοῦ δη, οἷον Ἡλιὰς ἀπὸ Ἡλιάδης, Πριαμὶς ἀπὸ Πριαμίδης· ἡ δὲ εἰς νη, αἰολικὴ οὖσα, ἀπὸ τῆς γενικῆς σχηματίζεται, οἷον Ἀδραστίνη ἀπὸ τοῦ Ἀδράστου, Ἀκρισιώνη ἀπὸ τοῦ Ἀκρισίωνος.

De Diminutivis.

Περὶ ὑποκοριστικῶν. Ὑποκοριστικὸν ὄνομά ἐστι τὸ μείωσιν τοῦ πρωτοτύπου δηλοῦν. Τούτου δὲ τὰ μὲν ἀρσενικὰ, τὰ δὲ θηλυκὰ, τὰ δὲ οὐδέτερα, ἀπὸ κυρίων καὶ προσηγορικῶν παραγόμενα. Καὶ τῶν μὲν ἀρσενικῶν καταλήξεις εἰσὶ πέντε· ας, οἷον μηνᾶς, ων, οἷον μωρίων, αξ, οἷον λίθαξ, σκος, οἷον ἀνθρωπίσκος, καὶ λος, οἷον ναυτίλος. Τῶν δὲ θηλυκῶν δύο· ις, οἷον θεραπαινὶς, καὶ σκη, οἷον παιδίσκη. Τῶν δὲ οὐδετέρων παραλήξεις ἐννέα εἰς ον ληγόντων· νι, οἷον ὀψώνιον, κι, οἷον μειράκιον, δρι, οἷον λογύδριον, λλι, οἷον μειρακύλλιον, φι, οἷον ζωύφιον, χνι, οἷον πολίχνιον, πι, οἷον ἀνθρώ-

κιον, ρι, οἷον παιδάριον, δι, οἷον κρεάδιον.

De denominativis et verbalibus.

Περὶ παρωνύμων. Παρώνυμον ὄνομα ἐστὶ ἀπὸ ὀνόματος παραγόμενον, οἷον Θέων ἀπὸ τοῦ Θεὸς, Τρύφων ἀπὸ τῆς τρυφῆς, Πλάτων ἀπὸ τοῦ πλατύς.

Περὶ ῥηματικῶν. Ῥηματικὸν ὁμοίως τὸ ἀπὸ τοῦ ῥήματος παραγόμενον, οἷον νοήμων ἀπὸ τοῦ νενόημαι, καὶ Φιλήμων ἀπὸ τοῦ πεφίλημαι. Κωνστ. Λασκ. Γραμμ.

Exercitatio.

1 Οὐ τὸ πένεσθαι κατὰ φύσιν αἰσχρὸν· ἀλλὰ τὸ δι' αἰσχρὰν αἰτίαν πένεσθαι ὄνειδος. 2 Ἀρκεσίλαος τὴν πενίαν λυπερὰν μὲν ἔλεγεν εἶναι, ὥσπερ καὶ τὴν Ἰθάκην, ἀγαθὴν δὲ κουροτρόφον ἐθίζουσαν συνεῖναι λιτότητι, καὶ καρτερίᾳ, καὶ καθόλου γυμνάσιον ἀρετῆς ἔμπρακτον. 3 Ζηλωτὸς ὅστις εὐτύχησεν ἐν τέκνοις. 4 Ἡ Λάκαινα, πρός τινα ἰωνικὴν δείξασαν αὐτῇ τὸν κόσμον, ἀνταπέδειξε τὰ τέκνα, εἰποῦσα· ὁ δὲ ἐμὸς κόσμος τοιοῦτος. 5 Ἄμαχον οὖν τι πρᾶγμα γίνεται γαμετὴ γυνὴ καὶ νόμιμος, ἂν ἐν ἑαυτῇ πάντα θεμένη, καὶ προῖκα, καὶ γένος, καὶ φάρμακα, καὶ τὸν κεστὸν αὐτὸν, ἤθει καὶ ἀρετῇ κατεργάσηται τὴν εὔνοιαν.

6 Λυκοῦργος ἐκέλευσε Λακεδαιμονίους μὴ πολλάκις τοῖς αὐτοῖς πολεμεῖν, ἵνα μὴ ἄκοντας πολεμεῖν διδάξωσιν. 7 Ἐν τῷ πολέμῳ τούς τε πρώτους ἀρίστους δεῖ τάττειν καὶ τοὺς τελευταίους· ἐν μέσῳ δὲ τοὺς χείρους, ἵνα ὑπὸ μὲν τῶν ἄγωνται, ὑπὸ δὲ τῶν ὠθῶνται. 8 Ξενοφῶν ὁ Σωκρατικὸς φιλόσοφος ἔφη· τῷ βασιλεῖ κάλλιον εἶναι τὸ τῶν χαρίτων ἀπολιπεῖν, ἢ τροπαίων πλῆθος.

Alexander Magnus.

Συνεστήσατο Ἀλέξανδρος πολέμους πολλούς, καὶ ἐκράτησεν ὀχυρωμάτων πολλῶν, καὶ ἔσφαξε βασιλεῖς τῆς γῆς· καὶ διῆλθεν ἕως ἄκρων τῆς γῆς. καὶ ἔλαβε σκῦλα πλήθους ἐθνῶν· καὶ ἡσύχασεν ἡ γῆ ἐνώπιον αὐτοῦ· καὶ ὑψώθη, καὶ ἐπήρθη ἡ καρδία αὐτοῦ, καὶ συνήγαγε δύναμιν ἰσχυρὰν σφόδρα· καὶ ἦρξε χωρῶν καὶ ἐθνῶν καὶ τυράννων, καὶ ἐγένοντο αὐτῷ εἰς φόρον. Καὶ μετὰ ταῦτα ἔπεσεν ἐπὶ τὴν κοίτην, καὶ ἔγνω ὅτι ἀποθνήσκει. Μακκ. πρωτ.

Præcepta nonnulla.

Μιμοῦ τὰ τῶν βασιλέων ἤθη, καὶ δίωκε τὰ ἐκείνων ἐπιτηδεύματα· δόξεις γὰρ αὐτοὺς ἀποδέ-

γεσθαι, καὶ ζηλοῦν. Ὥσ τέ σοι συμβήσεται παρά τε τῷ πλήθει μᾶλλον εὐδοκιμεῖν, καὶ τὴν παρ' ἐκείνων εὔνοιαν βεβαιοτέραν ἔχειν. Πείθου μὲν καὶ τοῖς νόμοις τοῖς ὑπὸ τῶν βασιλέων κειμένοις· ἰσχυρότατον μέν τοι νόμον ἡγοῦ, τὸν ἐκείνων τρόπον. Ὥσπερ γὰρ τὸν ἐν δημοκρατίᾳ πολιτευόμενον τὸ πλῆθος δεῖ θεραπεύειν, οὕτω καὶ τὸν ἐν μοναρχίᾳ κατοικοῦντα, τὸν βασιλέα προσήκει θαυμάζειν. Εἰς ἀρχὴν κατασταθεὶς μηδενὶ χρῶ πονηρῷ πρὸς τὰς διοικήσεις· ὧν γὰρ ἂν ἐκεῖνος ἁμάρτοι, σοὶ τὰς αἰτίας ἀναθήσουσιν. Ἐκ τῶν κοινῶν ἐπιμελειῶν ἀπαλλάττου μὴ πλουσιώτερος, ἀλλ' ἐνδοξότερος· πολλῶν γὰρ χρημάτων κρείττων ὁ παρὰ τὸ πλήθους ἔπαινος. Μηδενὶ πονηρῷ πράγματι μήτε παρίστασο, μήτε συνηγόρει· δόξεις γὰρ καὶ αὐτὸς τοιαῦτα πράττειν, οἷα περ ἂν τοῖς ἄλλοις πράττουσι βοηθῇς. Παρασκεύαζε σεαυτὸν πλεονεκτεῖν μὲν δυνάμενον, ἀνέχου δὲ τὸ ἴσον ἔχειν· ἵνα δοκῇς ὀρέγεσθαι τῆς δικαιοσύνης, μὴ δι' ἀσθένειαν, ἀλλὰ δι' ἐπιείκειαν. Μᾶλλον ἀποδέχου δικαίαν πενίαν, ἢ πλοῦτον ἄδικον· τοσούτῳ γὰρ κρείττων δικαιοσύνη χρημάτων, ὅσῳ τὰ μὲν ζῶντας μόνον ὠφελεῖ, ἡ δὲ καὶ τελευτήσασι

δόξαν παρασκευάζει. Κἀκείνων μὲν τοῖς φαύλοις μέτεστι, ταύτης δὲ τοῖς μοχθηροῖς ἀδύνατον μεταλαβεῖν. Μηδένα ζήλου τῶν ἐξ ἀδικίας κερδαινόντων, ἀλλὰ μᾶλλον ἀποδέχου τοὺς μετὰ δικαιοσύνης ζημιωθέντας· οἱ γὰρ δίκαιοι τῶν ἀδίκων, εἰ μηδὲν ἄλλο πλεονεκτοῦσιν, ἀλλ' οὖν ἐλπίσι γε σπουδαίαις ὑπερέχουσι. Ἰσοκρατ. πρὸς Δημονικ.

CAP. VIII. De adjectivorum terminationibus.

Περὶ τῶν καταλήξεων τῶν ἐπιθέτων. Τῶν ἐπιθέτων τὰ μὲν εἰς ης, ες, οἷον ὁ καὶ ἡ ἀληθὴς, καὶ τὸ ἀληθὲς· τὰ δὲ εἰς ην, εν, οἷον ὁ καὶ ἡ τέρην, καὶ τὸ τέρεν· τὰ δὲ εἰς εις, εσσα, εν, οἷον χαρίεις, χαρίεσσα, χαρίεν· τὰ δὲ εἰς ις, ι, οἷον ὁ καὶ ἡ φιλόπατρις, καὶ τὸ φιλόπατρι. Τὰ δὲ εἰς ος, ον, οἷον ὁ καὶ ἡ φιλόσοφος, καὶ τὸ φιλόσοφον, ὁ καὶ ἡ φιλόκαλος, καὶ τὸ φιλόκαλον· τὰ δὲ εἰς ος, η, ον, οἷον σοφὸς, σοφὴ, σοφὸν, ἀγαθὸς, ἀγαθὴ, ἀγαθόν. Δεῖ δὲ εἰδέναι ὅτι τὰ εἰς ος καθαρὸν ἐπίθετα, καὶ τὰ ἔχοντα τὸ ρ, ποιοῦσι θηλυκὸν εἰς α, οἷον ἀνδρεῖος, ἀνδρεία, ἀνδρεῖον, λόγιος, λογία, λόγιον, φοβερὸς, φοβερὰ, φοβερόν. Τὰ δὲ εἰς ους, ουν, οἷον ὁ καὶ ἡ πολύπους, καὶ τὸ πολύπουν· τὰ δὲ εἰς

υς, η ἢ α, υν, οἷον ἁπλοῦς, ἁπλῆ, ἁπλοῦν, χρυσοῦς, χρυσῆ, χρυσοῦν, χαλκοῦς, χαλκῆ, χαλκοῦν, μολιβδοῦς, μολιβδῆ, μολιβδοῦν, ἀργυροῦς, ἀργυρᾶ, ἀργυροῦν· ἅτινα ἰωνικῶς χρύσεος, χρυσέα, χρύσεον λέγεται, καὶ ἀργύρεος, ἀργυρέα, ἀργύρεον. Τὰ δὲ εἰς υς, υ, οἷον ὁ καὶ ἡ ἄδακρυς, καὶ τὸ ἄδακρυ· τὰ δὲ εἰς υς, εια, υ, οἷον ἡδὺς, ἡδεῖα, ἡδύ. Τά δὲ εἰς ων, ον, οἷον ὁ καὶ ἡ εὐδαίμων, καὶ τὸ εὔδαιμον· τὰ δὲ εἰς ως, ων, οἷον ὁ καὶ ἡ εὔγεως, καὶ τὸ εὔγεων. Κωνστ. Λασκ. Γραμμ.

Exercitatio.

1 Ὁ τύχῃ βίος συμπεπλέγμενος ἔοικε χειμάῤῥῳ ποταμῷ· καὶ γὰρ ταραχώδης, καὶ ἰλύος ἀνάμεστος, καὶ δυσέμβατος, καὶ τυραννικὸς, καὶ πολύηχος, καὶ ὀλιγοχρόνος. 2 Ψυχὴ ὁμιλοῦσα ἀρετῇ, ἔοικεν ἀεννάιῳ πηγῇ· καὶ γὰρ καθαρὸν, καὶ ἀτάραχον, καὶ πότιμον, καὶ νόστιμον, καὶ κοινωνικὸν, καὶ πλούσιον, καὶ ἀβλαβὲς, καὶ ἀνώλεθρον. 3 Ἰβήρων αἱ γυναῖκες κατ' ἔτος ὅ, τι ἂν ἐξηφάνωσιν ἐν κοινῷ δεικνύουσιν· ἄνδρες δὲ χειροτονητοὶ κρίναντες τὴν πλεῖστα ἐργασαμένην προτιμῶσιν. Ἔχουσι δὲ καὶ μέτρον τι ζώνης, ἣ τὴν γαστέρα περιλαβεῖν ἂν μὴ δυνήθωσιν, αἰσχρὸν ἡγοῦ-

νται. 4 Ἔθος ἐστὶν τοῖς ἀποθνήσκουσι πᾶσι πίνειν τὸ Λήθης ὕδωρ. 5 Κλεάνθης ἐρωτώμενος, πῶς ἂν τις εἴη πλούσιος, εἶπεν· εἰ τῶν ἐπιθυμιῶν εἴη πενής. 6 Τῶν μὲν Κροίσου καὶ Κύρου θησαυρῶν πενίαν ἐσχάτην καταψηφιούμεθα· ἕνα δὲ καὶ μόνον πιστεύομεν εἶναι πλούσιον καὶ σοφὸν, τὸν δυνάμενον κτήσασθαι τὸ ἀνενδεὲς πανταχοῦ.

Totius Hispaniæ, qua ejus figura, longitudo et latitudo exponuntur.

Πρῶτον δὲ μέρος τῆς Εὐρώπης ἔστι τὸ ἑσπέριον, ὡς ἔφαμεν, ἡ Ἰβηρία. Ταύτης δὴ τὸ μὲν πλέον οἰκεῖται φαύλως· ὄρη γὰρ καὶ δρυμοὺς καὶ πεδία λεπτὴν ἔχοντα γῆν, οὐδὲ ταύτην ὁμαλῶς εὔδρον οἰκοῦσι τὴν πολλήν· ἡ δὲ πρόσβοῤῥος ψυχρά τέ ἐστι τελέως πρὸς τῇ τραχύτητι, καὶ παρωκεανῖτις, προσειληφυῖα τὸ ἄμικτον καὶ ἀνεπίπλεκτον τοῖς ἄλλοις· ὥσθ' ὑπερβάλλει τῇ μοχθηρίᾳ τῆς οἰκήσεως· ταῦτα μὲν δὴ τὰ μέρη τοιαῦτα. Ἡ δὲ νότιος πᾶσα εὐδαίμων σχεδόντι, καὶ διαφερόντως ἡ ἔξω στηλῶν· ἔσται δὲ δῆλον ἐν τοῖς καθ' ἕκαστα· ὑπογράψασιν ἡμῖν πρότερον τό τε σχῆμα, καὶ τὸ μέγεθος. Ἔοικε γὰρ βύρσῃ κατὰ μὲν μῆκος

ἀπὸ τῆς ἑσπέρας ἐπὶ τὴν ἕω, τὰ πρόσθια ἐχούσῃ μέρη πρὸς τῇ ἕω· κατὰ πλάτος δὲ ἀπὸ τῶν ἄρκτων πρὸς νότον. Ἔχει δὲ σταδίων ἑξακισχιλίων ὁμοῦ τὸ μῆκος· πλάτος δὲ πεντακισχιλίων, τὸ μέγιστον· ἔστι δὲ ὅπου πολὺ ἔλαττον τῶν τρισχιλίων· καὶ μάλιστα πρὸς τῇ Πυρήνῃ τῇ ποιούσῃ τὴν ἑῴαν πλευράν. Ὄρος γὰρ διηνεκὲς ἀπὸ νότου πρὸς βοῤῥᾶν τεταμένον, ὁρίζει τὴν Κελτικὴν ἀπὸ τῆς Ἰβηρίας. Οὔσης δὲ καὶ τῆς Κελτικῆς ἀνωμάλου τὸ πλάτος, καὶ τῆς Ἰϐηρίας· τὸ δὲ στενώτατον τοῦ πλάτους ἑκατέρας ἀπὸ τῆς ἡμετέρας θαλάττης ἐπὶ τὸν Ὠκεανόν ἐστι, τὸ τῇ Πυρήνῃ πλησιάζον, μάλιστα ἐφ' ἑκάτερον αὐτῆς τὸ μέρος καὶ ποιοῦν κόλπους τοὺς μὲν ἐπὶ τῷ Ὠκεανῷ, τοὺς δὲ ἐπὶ τῇ καθ' ἡμᾶς θαλάττῃ· μείζους δὲ τοὺς Κελτοὺς, οὓς δὴ καὶ Γαλατικοὺς καλοῦσι, στενώτερον τὸν ἰσθμὸν ποιοῦντας παρὰ τὸ Ἰϐηρικόν. Καὶ δὴ τὸ μὲν ἑῷον πλευρὸν τῆς Ἰϐηρίας ἡ Πυρήνη ποιεῖ· τὸ δὲ νότιον ἥ τε καθ' ἡμᾶς θάλαττα ἀπὸ τῆς Πυρήνης μέχρι στηλῶν, καὶ ἡ ἐκτὸς τὸ ἑξῆς μέχρι τοῦ Ἱεροῦ ἀκροτηρίου καλουμένου· τρίτον ἐστὶ τὸ ἑσπέριον πλευρὸν, παράλληλόν πως τῇ Πυρήνῃ, τὸ ἀπὸ τοῦ Ἱεροῦ ἀκρωτηρίου μέχρι τῆς πρὸς Ἀρτά-

βροις ἄκρας ἣν καλοῦσι Νερίον· τέταρτον δὲ τὸ ἐνθένδε μέχρι τῶν βορείων ἄκρων τῆς Πυρήνης. Ἀναλαβόντες δὲ λέγωμεν τὰ καθ' ἕκαστα ἀπὸ τοῦ Ἱεροῦ ἀκρωτηρίου ἀρξάμενοι. Τοῦτο δὲ ἐστὶ δυτικώτατον οὐ τῆς Εὐρώπης μόνον, ἀλλὰ καὶ τῆς οἰκουμένης ἁπάσης σημεῖον.

Περατοῦται μὲν γὰρ ὑπὸ τῶν δυοῖν ἠπείρων ἡ οἰκουμένη πρὸς δύσιν, τοῖς τε τῆς Εὐρώπης ἄκροις, καὶ τοῖς πρώτοις τῆς Λιβύης· ὧν τὰ μὲν Ἴβηρες ἔχουσι, τὰ δὲ Μαυρούσιοι· προύχει δὲ τὰ Ἰβηρικὰ ὅσον χιλίοις πεντακοσίοις σταδίοις κατὰ τὸ λεχθὲν ἀκρωτήριον· καὶ δὴ καὶ τὴν προσεχῆ τούτῳ χώραν τῇ Λατίνῃ φωνῇ καλοῦσι Κούνιον, σφῆνα σημαίνειν βουλόμενοι. Στραβ. Γεωγραφ.

De comparativo et superlativo.

Περὶ συγκριτικοῦ. Συγκριτικὸν ὄνομα ἐστὶ, δι' οὗ σύγκρισις γίνεται πρὸς ὁμοφυεῖς, καὶ ἑτεροφυεῖς· καταλήξεις δὲ αὐτοῦ δύο· ων ἀνώμαλος, οἷον μείζων, βελτίων· καὶ ερος κοινὸς, οἷον πλουσιώτερος, φρονιμώτερος· σχηματίζεται δὲ ἀπὸ τῶν τριγενῶν ὀνομάτων, ὅσα τὴν τοῦ μᾶλλον ἐπίτασιν ἀναδέχονται· ἀπὸ δὲ τῶν ληγόντων εἰς ος,

ἐκϐολῇ τοῦ σ, καὶ προσθέσει τοῦ τερος σχηματίζωνται, οἷον πρᾷος, πρᾳότερος· παλαιὸς, παλαιότερος· ὠφέλιμος, ὠφελιμώτερος· φρόνιμος, φρονιμώτερος. Ἔτι ἀπὸ τοῦ οὐδετέρου τῶν εἰς ης διγενῶν, οἷον ἀληθὲς, ἀληθέστερος· ἀκριϐὲς, ἀκριϐέστερος.

Ἔτι ἀπὸ τῶν εἰς ων, καὶ εἰς εις, καὶ εἰς ους, οἷον σώφρων, σώφρονος, σωφρονέστερος· χαρίεις, χαρίεντος, χαριέστερος· εὔνους, εὐνούστερος· καὶ ἀπὸ μετοχῆς, οἷον ἐῤῥομενέστερος. Ἔτι ἀπὸ τῶν εἰς υς, μὴ φυλαττομένου τοῦ σ, οἷον ἡδὺς, ἡδύτερος· ὀξὺς, ὀξύτερος· βαρὺς, βαρύτερος. Καὶ τὰ ἀπὸ ῥημάτων γινόμενα, οἷον φέρτερος, καὶ βέλτερος· καὶ τὰ ἀπὸ προθέσεων καὶ ἐπιῤῥημάτων, οἷον ὑπέρτερος, ἐγγύτερος. Συντάσσονται δὲ γενικῇ, οἷον ὁ Ἀχιλλεὺς ἦν ἀνδρειότερος τοῦ Αἴαντος, καὶ ὁ αὐτὸς ἦν ἰσχυρότερος τῶν Τρώων· καὶ τῇ δοτικῇ ὑπερϐολὴν σημαινούσῃ, οἷον ὁ Κροῖσος ἦν πλουσιώτερος Κύρου ἑκατὸν ταλάντοις.

Περὶ ὑπερθετικοῦ. Ὑπερθετικὸν ὄνομά ἐστι δι' οὗ ὑπέρθεσις γίνεται· καταλήξεις δὲ αὐτοῦ δύο· τατος τοῦ εἰς τερος συγκριτοῦ, ἀπὸ τοῦ αὐτοῦ σχηματιζομένη, οἷον πρᾷος, πρᾳότερος, πρᾳότατος· φρόνιμος, φρονιμώτερος, φρονιμώτατος·

ἀκριβὲς, ἀκριβέστερος, ἀκριβέστατος. Καὶ εἰς στος τοῦ εἰς ων συγκριτικοῦ ἀνώμαλος, οἷον καλὸς, καλλίων, κάλλιστος· κακὸς κακίων ἢ χείρων, κάκιστος· μέγας, μείζων, μέγιστος· ἀγαθὸς, βελτίων, ἀρείων, κρείων, κρείττων, ἀμείνων· βέλτιστος, ἄριστος, κράτιστος· πολὺς, πλέων, πλεῖστος· ἡδὺς, ἡδίων, ἥδιστος· ταχὺς, ταχίων τάχιστος· μικρὸν, μείων καὶ ἥττων, ἐλάττων, ἐλάχιστος· ἐχθρὸς, ἐχθίων, ἔχιστος· αἰσχρὸς, αἰσχίων, αἴσχιστος· ῥᾴδιος, ῥᾴων, ῥᾷστος· φίλος, φίλτερος, φίλτατος. Συντάσσονται δὲ τὰ ὑπερθετικὰ γενικῇ, οἷον ὁ Ὅμηρος ἐγένετο σοφώτατος πάντων τῶν ποιητῶν. Ἔτι τὰ διὰ τοῦ οτερος καὶ οτατος, εἰ μὲν ἔχωσι τὴν πρὸ τοῦ ο συλλαβὴν βραχεῖαν, διὰ τοῦ ω (μεγάλου) γράφονται, οἷον φρόνιμος, φρονιμώτερος, φρονιμώτατος· εἰ δὲ μακρὰν φύσει ἢ θέσει, διὰ τοῦ ο (μικροῦ), οἷον πρᾶος, πρᾳότερος, πρᾳότατος· ἔνδοξος, ἐνδοξότερος, ἐνδοξότατος. Κωνστ. Λασκ. Γραμμ.

Exercitatio.

1 Τυραννὶς χρῆμα μὲν σφαλερὸν, πολλοὶ δὲ αὐτῆς ἐρασταί εἰσιν. **2** Πιστὸν ἡ γῆ, ἄπιστον ἡ θάλασσα. **3** Πόλεμος ἔνδοξος εἰρήνης αἰσχρᾶς αἱρε-

τώτερος. 4 Ἀρετῆς οὐδὲν χρῆμα σεμνότερον οὐδὲ βεβαιότερόν ἐστιν. 5 Χαλεπὸν τὸ ποιεῖν, τὸ κέλευσαι ῥᾴδιον. 6 Στέργε μὲν τὰ παρόντα, ζήτει δὲ τὰ βελτίω. 7 Ὁ μέλας οἶνός ἐστι θρεπτικώτατος, ὁ δὲ λευκὸς λεπτότατος. 8 Πρεσβύτατον τῶν ὄντων θεὸς, ἀγέννητος γάρ· κάλλιστον κόσμος, ποίημα γὰρ θεοῦ· μέγιστον τόπος, πάντα γὰρ χωρεῖ· τάχιστον νοῦς, διὰ παντὸς γὰρ τρέχει· ἰσχυρότατον ἀνάγκη, κρατεῖ γὰρ πάντων· σοφώτατον χρόνος, ἀνευρίσκει γὰρ πάντα. 9 Ὁ θάνατος κοινὸς καὶ τοῖς χειρίστοις καὶ τοῖς βελτίστοις· οὔτε τοὺς πονηροὺς ὑπερορᾷ, οὔτε τοὺς ἀγαθοὺς θαυμάζει. 10 Ἀριστοτέλης ἔφη, τῆς παιδείας τὰς μὲν ῥίζας εἶναι πικρὰς, γλυκεῖς δὲ τοὺς καρπούς. 11 Ἡ μυῖα ἑξάπους οὖσα, τοῖς μὲν τέσσαρσι βαδίζει μόνοις, τοῖς δὲ προσθίοις δυσὶν ὡς χερσὶ χρῆται. 12 Ἕπεσθαι δὲ δοκεῖ μάλιστα τῇ ἀχαριστίᾳ ἀναισχυντία· καὶ γὰρ αὕτη δοκεῖ εἶναι μεγίστη ἐπὶ πάντα τὰ αἰσχρὰ ἡγεμών.

De Sphæræ Axi et Polis.

Περὶ ἄξωνος καὶ πόλων. Ἄξων καλεῖται τοῦ κόσμου ἡ διάμετρος αὐτοῦ, περὶ ἣν στρέφεται. Τὰ

δὲ πέρατα τοῦ ἄξωνος πόλοι λέγονται τοῦ κόσμου. Τῶν δὲ πόλων ὁ μὲν λέγεται βόρειος, ὁ δὲ νότιος· βόρειος μὲν ὁ διὰ παντὸς φαινόμενος, ὡς πρὸς τὴν ἡμετέραν οἴκησιν· νότιος δὲ ὁ διὰ παντὸς ἀόρατος, ὡς πρὸς τὸν ἡμέτερον ὁρίζοντα. Εἰσὶ μέν τοι τόποι τινὲς ἐπὶ τῆς γῆς, ὅπου συμβαίνει τὸν παρ' ἡμῖν πόλον τὸν ἀεὶ φανερὸν, ἐκείνοις ἀόρατον εἶναι· τὸν δὲ παρ' ἡμῖν πόλον ἀόρατον, ἐκείνοις φανερὸν εἶναι. Καὶ πάλιν, ἐστί τις τόπος ἐπὶ τῆς γῆς, ὅπου δύο πόλοι ὁμοίως ἐπὶ τοῦ ὁρίζοντος κεῖνται. Προκλ. Σφαίρ.

Cecrops.

Κέκροψ αὐτόχθων συμφυὲς ἔχων σῶμα ἀνδρὸς καὶ δράκοντος τῆς Ἀττικῆς ἐβασίλευσε πρῶτος· καὶ τὴν γῆν, πρότερον λεγομένην Ἀκτὴν, ἀφ' ἑαυτοῦ Κεκροπίαν ὠνόμασεν. Ἐπὶ τούτου φασὶν ἔδοξε τοῖς θεοῖς πόλεις καταλαβέσθαι, ἐν αἷς ἔμελλον ἔχειν τιμὰς ἰδίας ἕκαστος. Ἧκεν οὖν πρῶτος Ποσειδῶν ἐπὶ τὴν Ἀττικὴν, καὶ πλήξας τῇ τριαίνῃ, κατὰ μέσην τὴν ἀκρόπολιν ἀνέφηνε θάλασσαν, ἣν νῦν Ἐρεχθηΐδα καλοῦσι. Μετὰ δὲ τοῦτον ἧκεν Ἀθηνᾶ· καὶ ποιησαμένη τῆς καταλήψεως

Κέκροπα μάρτυρα, ἐφύτευσεν ἐλαίαν, ἣ νῦν ἐν τῷ Πανδροσίῳ δείκνυται. Γενομένης δὲ ἔριδος ἀμφοῖν περὶ τῆς χώρας, Ἀθηνᾶν καὶ Ποσειδῶνα διαλύσας Ζεὺς, κριτὰς ἔδωκεν· οὐχ, ὡς εἶπον τινὲς, Κέκροπα καὶ Κραναὸν, οὐδὲ Ἐρεχθέα· θεοὺς δὲ τοὺς δώδεκα. Καὶ τούτων δικαζόντων ἡ χώρα τῆς Ἀθηνᾶς ἐκρίθη, Κέκροπος μαρτυρήσαντος, ὅτι πρῶτον τὴν ἐλαίαν ἐφύτευσεν. Ἀθηνᾶ μὲν οὖν ἀφ' ἑαυτῆς τὴν πόλιν ἐκάλεσεν Ἀθήνας. Ποσειδῶν δὲ, θυμῷ ὀργισθεὶς, τὸ Θριάσιον πεδίον ἐπέκλυσε καὶ τὴν Ἀττικὴν ὕφαλον ἐποίησε. Ἀπολλ. Βιβλ.

CAP. IX. De articulo et pronomine.

Περὶ ἄρθρου. Ἄρθρον οὖν ἐστι μέρος λόγου μονοσύλλαβον προτασσόμενον εἰς ἀεὶ τῶν ὀνομάτων. Ἄρθρον δὲ λέγεται, κατ' ἐμὴν κρίσιν, ἀπὸ τοῦ ἐνάρθρως ὑποδεικνύειν τὸ γένος τοῦ ὑποκειμένου ὀνόματος· οἷόν τι λέγω, ἐὰν εἴπω, ἦλθεν ἄνθρωπος, οὐκ ἐδήλωσα τὸ γένος εἴ τε ἀρσενικόν ἐστι, εἴ τε θηλυκόν· ἔστι γὰρ ἄνθρωπος ἀρσενικὸν καὶ ἄνθρωπος θηλυκόν· Ἐὰν δὲ προσθήσω καὶ τὸ ἄρθρον τὸ ὁ καὶ εἴπω, ἦλθεν ὁ ἄνθρωπος, ἰδοὺ διὰ τοῦ ἄρθρου τὸ γένος ἐνάρθρως ἐδήλωσα, ὅτι ἐστι

ἀρσενικόν· ἢ ἐὰν εἴπω πάλιν ἡ ἄνθρωπος, ἐδήλωσα τὸ γένος ὅτι ἔστι θηλυκόν. Εἰσὶν οὖν τὰ ἄρθρα τοσαῦτα, ὁπόσα δηλαδὴ καὶ αἱ πτώσεις τῶν ὀνομάτων. Θεοδώρ. Προδρώμ. Γραμμ.

De Pronomine primitivo.

Περὶ ἀντωνυμιῶν. Ἀντωνυμία τοίνυν ἐστὶ μέρος λόγου πτωτικὸν ἀντὶ ὀνόματος παραλαμβανόμενον. Τῶν γὰρ ὀνομάτων τρίτον πρόσωπον ἐμφαινόντων, αὕτη παρηστήχθη ἵνα τὰ πάντα δηλώσῃ, τῶν μὲν πτώσεων τοῦ ὀνόματος κεκοινωνηκυῖα καὶ τῶν προσώπων τοῦ ῥήματος· ταύτης δὲ ἀρχικὰ εἴδη πέντε· πρωτότυπον, κτητικὸν, δεικτικὸν, ἀναφορικὸν, καὶ σύνθετον, περὶ ὧν λεκτέον.

Πρωτότυποι εἰσὶ τρεῖς· τοῦ πρώτου προσώπου ἡ ὀνομαστικὴ μὲν ἐγὼ, ἀττικῶς δὲ ἔγωγε, δωρικῶς δὲ ἐγὼν καὶ ἐγώνη· ἡ γενικὴ ἐμοῦ καὶ μοῦ; ἰωνικῶς ἐμέο ἐμοῖο ἐμέοθεν καὶ ἐμέθεν, δωρ. καὶ αἰολικῶς ἐμεῦ· ἡ δοτικὴ ἐμοὶ καὶ μοί· ἡ αἰτιατικὴ ἐμὲ καὶ μέ· ἡ ὀνομαστικὴ καὶ αἰτιατικὴ δυϊκὴ νῶϊ καὶ νώ, δωρ. καὶ αἰολ. ἄμμε· ἡ γενικὴ καὶ δοτικὴ νῶϊν καὶ νῷν· ἡ ὀνομαστικὴ πληθυντι-

κὴ ἡμέες ἡμεῖς, δωρ. καὶ αἰολ. ἄμμες· ἡ γενκὴ ἡμέων ἡμῶν καὶ ἡμείων, αἰολ. ἀμμέων· ἡ δοτικὴ ἡμῖν, ποιητικῶς δὲ ἡμὶν, δωρ. ἄμιν, καὶ αἰολικῶς ἄμμι· ἡ αἰτιατικὴ ἡμέας ἡμᾶς, αἰολ. ἄμμε.

Τοῦ δευτέρου προσώπου ἡ ὀνομαστικὴ σὺ δωρικῶς τὺ καὶ τηύ· ἡ γενικὴ σοῦ, ποιητ. σεῖο, ἰωνικῶς σέω, ἀττ. σεόθεν σέθεν, δωρ. καὶ αἰολ. σεῦ· ἡ δοτικὴ σοὶ, δωρ. τοί· ἡ αἰτιατικὴ σὲ, δωρ. τύ· ἡ ὀνομαστικὴ καὶ αἰτιατικὴ δυϊκὴ σφῶϊ σφὼ, δωρικῶς αἰολικῶς ὔμμε· ἡ γενικὴ καὶ δοτικὴ σφῶϊν καὶ σφῷν· ἡ ὀνομαστικὴ πληθυντικὴ ὑμέες ὑμεῖς, δωρ. ὔμες και αἰολ. ὔμμες· ἡ γενικὴ ὑμέων ὑμῶν, αἰολ. ὑμείων καὶ ὑμέων· ἡ δοτικὴ ὑμῖν, ποιητ. ὔμὶν, δωρ. ὔμιν, καὶ αἰολ. ὔμμιν· ἡ αἰτιατικὴ ὑμέας ὑμᾶς, δωρ. καὶ αἰολ. ἄμμε.

Τοῦ τρίτου προσώπου ἡ ὀνομαστικὴ κατὰ παλαιοὺς ἷ, καὶ ὅς· ἡ γενικὴ οὗ, ἰων. ἕο καὶ εἷο, δωρ. εὗ, ἀττ. ἕθεν· (τὸ δὲ ἐμοῖο καὶ σοῖο καὶ οἷο οὐ γίνονται ἀπὸ τῶν πρωτοτύπων, ἀλλ' ἀπὸ τῶν κτητικῶν ἐμοῦ σοῦ οὗ ἔθει ἰωνικῷ·) ἡ δοτικὴ οἷ, καὶ ἕοι· ἡ αἰτιατικὴ ἓ καὶ ἕε· ἡ ὀνομαστικὴ καὶ αἰτιατικὴ δυϊκὴ σφῶε σφέ· ἡ γενικὴ καὶ δοτικὴ

σφῶϊν, σφοῖν, καὶ σφίν· ἡ ὀνομαστικὴ πληθυντικὴ σφέες σφεῖς, καὶ δωρ. σφές· ἡ γενικὴ σφέων σφῶν, καὶ σφείων· ἡ δοτικὴ σφίσι καὶ σφῖν· ἡ αἰτιατικὴ σφέας σφᾶς. Καὶ αὗται μὲν αἱ πρωτότυποι ἀντωνυμίαι. Κωνστ. Λασκ. Γραμμ.

Exercitatio.

1 Διαλέγῃ σὺ νῦν ἄλλῳ τινι ἢ ἐμοί; οὐκοῦν καὶ ἐγὼ σοί; 2 Ἄρτι μὲν ἐπεπαύμην εἰς τὰ διδασκαλεῖα φοιτῶν, ἤδη τὴν ἡλικίαν πρόσηϐος ὤν, ὁ δὲ πατὴρ ἐσκοπεῖτο μετὰ τῶν φίλων ὅ τι καὶ διδάξαιτό με. 3 Ἡμεῖς δὲ οἱ ἐς τὰ πλήθη παριόντες καὶ τὰς τοιαύτας τῶν ἀκροάσεων ἐπαγγέλλοντες εἴδωλα ἄττα ἐπιδεικνύμεθα. 4 Οὐδὲν ὑμῶν δέομαι, μὴ ἐνοχλεῖτέ μοι. 5 Μέτρια τὰ περὶ σαυτοῦ λέγεις, ἡμεῖς δὲ ἀχάριστοι ἂν εἴημεν ἀμνημονοῦντες. 6 Ἀλλὰ κἂν ὑμεῖς γε κατελεήσετέ με παρὰ τὴν ἀξίαν δυστυχοῦντα. 7 Διδάσκαλε, δέομαί σου ἐπίϐλεψαι ἐπὶ τὸν υἱόν μου, ὅτι μονογενής ἐστίν μοι· ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν. Ὦ γενεὰ ἄπιστος καὶ διεστραμμένη, ἕως πότε ἔσομαι πρὸς ὑμᾶς καὶ ἀνέξομαι ὑμῶν; προσάγαγε ὧδε τὸν υἱόν σου. 8 Κορῶναι ἀλλήλαις εἰσὶ πιστόταται καὶ πάνυ σφόδρα ἀγαπῶσι σφᾶς.

Ægypti Pyramides.

Τετταράκοντα δ' ἀπὸ τῆς (Μέμφις) πόλεως σταδίους προελθόντι, ὀρεινή τις ὀφρύς ἐστι, ἐφ' ᾗ πολλαὶ μὲν Πυράμιδες εἰσὶ, τάφοι τῶν βασιλέων· τρεῖς δ' ἀξιόλογοι, τὰς δὲ δύο τούτων καὶ ἐν τοῖς ἑπτὰ θεάμασι καταριθμοῦνται. Εἰσὶ γὰρ σταδιαῖαι τὸ ὕψος, τετράγωνοι τῷ σχήματι, τῆς πλευρᾶς ἑκάστης μικρῷ μεῖζον τὸ ὕψος ἔχουσαι, μικρῷ δὲ καὶ ἡ ἑτέρα τῆς ἑτέρας ἐστὶ μείζων· ἔχει δ' ἐν ὕψει μέσως πως τῶν πλευρῶν λίθον ἐξαιρέσιμον· ἀρθέντος δὲ, σύριγξ ἐστὶ σκολιὰ μέχρι τῆς θήκης. Αὗται μὲν οὖν ἐγγὺς ἀλλήλων εἰσὶ τῷ αὐτῷ ἐπιπέδῳ. Ἀποτέρω δ' ἐστὶν ἐν ὕψει μείζονι τῆς ὀρεινῆς ἡ τρίτη πολὺ ἐλάττων ταῖν δυοῖν, πολὺ δὲ μείζονος δαπάνης κατεσκευασμένη· ἀπὸ γὰρ θεμελίων μέχρι μέσου σχεδόντι μέλανος λίθου ἐστίν· ἐξ οὗ καὶ τὰς θυΐας κατασκευάζουσι κομίζοντες πόῤῥωθεν ἀπὸ τῶν τῆς Αἰθιοπίας ὀρῶν· ὃς τῷ σκληρὸς εἶναι καὶ δυσκατέργαστος, πολυτελῆ τὴν πραγματείαν παρέσχε· λέγεται δὲ τῆς ἑταίρας τάφος γεγονὼς ὑπὸ τῶν ἐραστῶν, ἣν Σαπφὼ μὲν ἡ τῶν μελῶν ποιήτρια, καλεῖ Δορίχαν. Στραβών. ιζ'.

De possessivis.

Περὶ κτητικῶν. Ἀπὸ τῶν πρωτοτύπων ἀντωνυμίων παράγονται ὀκτὼ κτητικαὶ τριγενῶς κλινόμεναι. Ἀπὸ τῆς ἐμοῦ γενικῆς παράγεται ἐμὸς, ἡ, όν· ἀπὸ τῆς σοῦ γενικῆς σὸς, σὴ, σὸν, ἢ καὶ ποιητικῶς τεὸς, τεὰ, τεὸν, λέγεται· ἀπὸ τῆς οὗ γενικῆς ἑὸς, ἑὴ, ἑόν. Ἀπὸ τῆς νῶϊ ὀνομαστικῆς δυϊκῆς νωΐτερος, α, ον· ἀπὸ τῆς σφῶϊ ὀνομαστικῆς σφωΐτερος, α, ον· (ἀπὸ τοῦ τρίτου προσώπου ἀντωνυμία οὐ παράγεται, οὐ γάρ ἐστιν ὀνομαστικὴ ἀφ' ἧς παραχθήσεται, τὸ γὰρ σφωε αἰτιατική ἐστιν). Ἀπὸ τῆς ἡμέες, εῖς, ὀνομαστικῆς πληθυντικῆς ἡμέτερος, α, ον· ἀπὸ τῆς ὑμέες, εῖς, ὑμέτερος, α, ον· ἀπὸ τῆς σφέες, εῖς, σφέτερος, α, ον. Παρὰ ποιηταῖς δέ εἰσι καὶ ἄλλαι κτητικαὶ ἀντωνυμίαι κατὰ τὴν ἀκολουθίαν τούτων· ἀμὸς, ἡ, ὸν, ἀντὶ ἡμέτερος· ὑμὸς, ἡ, ὸν, ἀντὶ ὑμέτερος· καὶ σφὸς, ἡ, ὸν, ἀντὶ σφέτερος.

De demonstrativis.

Περὶ δεικτικῶν. Δεικτικαὶ δὲ ἀντωνυμίαι εἰσὶ δύο τριγενῶς κλινόμεναι· οὗτος, αὕτη, τοῦτο· καὶ ἐκεῖνος, ἐκείνη, ἐκεῖνο, ἢ κεῖνος, η, ο, ποιητικῶς.

Οἱ Ἀττικοὶ δὲ εἰώθασι προστιθέναι τὸ ι, ἵνα πλείω τὴν δεῖξιν ἐκφαίνωσι· οἷον ουτοσὶ, αὑτηΐ, τουτοΐ, καὶ τουτί· ἐκεινοσὶ, ἐκεινηΐ, ἐκεινοΐ· ἠδὲ Δωριεῖς τρέποντες τὸ κ εἰς τ καὶ τὸ ε τῆς ει εἰς η ὑπογράφοντες καὶ τὸ ι τῆνος, τήνη, τῆνο, ἀντὶ κεῖνος, η, ον, λέγουσι.

Ἀπὸ δὲ τοῦ ἄρθρου ὁ, ἡ, τὸ, καὶ δὲ, καὶ γὲ συνδέσμων γίνονται ἀντωνυμία ὅδε καὶ ὁδὶ, ἥδε, τόδε καὶ τοδὶ, καὶ ὅγε, ἥγε, τόγε· ἔτι ὃ γίνεται ἀντὶ οὗτος. Εὑρίσκεται δὲ καὶ δεῖνα ἐπὶ τρίτου προσώπου μόνον πάντα τὰ ἄρθρα προσλαμβάνουσα.

De relativo.

Περὶ ἀναφορικῆς. Ἀναφορικὴ δὲ μία, ἥτις καὶ ἐπιταγματικὴ καλεῖται, κλίνεται τριγενῶς οὕτω· αὐτὸς, αὐτὴ, αὐτό. Λαμβάνεται δὲ αὐτὸς ἀντὶ ἐγὼ, σὺ, ὃς, καὶ ἐκεῖνος, καὶ ψιλοῦται ἀεί· τὰ δὲ αὑτοῦ, ᾧ, ὃν δασυνόμενα, ἀπὸ τοῦ ἑαυτοῦ κατὰ ἀφαίρεσιν, ὅθεν καὶ ἡ δασεῖα φυλάττεται.

De compositis.

Περὶ συνθέτων. Σύνθετοι δὲ τρεῖς, ἀπὸ τῶν πρωτοτύπων γινόμεναι, περὶ ὧν εἰδέναι δεῖ ὅτι οἱ

ἀρχαῖοι, μὴ ἔχοντες συνθέτους ἀντωνυμίας, ἀνεπλήρουν τὴν χρείαν αὐτῶν διὰ τῶν πρωτοτύπων, καὶ τῆς ἀναφορικῆς, ἐμοῦ αὐτοῦ λέγοντες, σοῦ αὐτοῦ, οὗ αὐτου, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως· οἱ δὲ μεταγενέστεροι συνέθηκαν. Κλίνονται δὲ τριγενῶς ὀνομαστικὰς οὐκ ἔχουσαι διότι αὐτοπάθειαν σημαίνουσι· καὶ αἱ μὲν τοῦ πρώτου καὶ δευτέρου προσώπου ἑνικῶς μόνον κλίνονται: ἐμαυτοῦ, ἐμαυτῆς, ἐμαυτοῦ· σεαυτοῦ, σεαυτῆς, σεαυτοῦ, ἥτις καὶ κατὰ κρᾶσιν σαυτοῦ, σαυτῆς, σαυτοῦ λέγεται. Τοῦ δὲ τρίτου προσώπου ἑαυτοῦ, ἑαυτῆς, ἑαυτοῦ, καὶ πληθυντικῶς παρὰ λόγον ἔθει ἀττικῷ συνθέτως καὶ διῃρημένως τριγενῶς κλίνεται ἑαυτῶν, καὶ σφῶν αὐτῶν. Εὑρήσεις δὲ καὶ παρὰ ποιηταῖς ἄλλας ἀντονυμίας μονοπτώτους, καὶ μοναδικὰς καλουμένας, οἷον ἐμὶν ἀντὶ ἐμοί, τὶν καὶ τεΐν ἀντὶ σοί, σφὲ καὶ μὶν καὶ νὶν ἀντὶ αὐτὸν καὶ αὐτούς.

Εἰσὶ δὲ καὶ ἄλλαι ἀντωνυμίαι σύνθετοι, οἷον ἀπὸ ὅς, ἥ, ὅ καὶ τὶς, τὶ, ὅστις, ἥτις, ὅτι· καὶ παραγώγοι, οἷον ἀπὸ ὅς, ἥ, ὅ, οἷος η, ον· ὅσος, η, ον· ἡλίκος, η, ον· τοῖος, η, ον· τόσος, η, ον· τηλίκος, η, ον· καὶ ποῖος, πόσος, πηλίκος· καὶ ὁποῖος, ὁπόσος, ὁπηλίκος· καὶ τοιοῦτος, τοσοῦτος,

τηλικοῦτος, ὁποσοσταῖος, ὁποσόστος· καὶ ἀπὸ τῆς πᾶς, σα, ᾶν, ἅπας, σύμπας, ἀπάξαπας· καὶ ἀπὸ εἷς, μία, ἕν, καὶ ἀμὸς, μηδεὶς, μηδαμός· καὶ ἀπὸ τῆς ἄλλος, ἀλλήλων, ἀλλήλοις, αις, οις, ἀλλήλους, ας, α. Κωνστ. Λασκ. Γραμμ.

Exercitatio.

1 Διδύμων ἀδελφῶν εἷς ἐτελεύτησε· σχολαστικὸς οὖν ἀπαντήσας τῷ ζῶντι ἠρώτα· σὺ ἀπέθανες ἢ ὁ ἀδελφός σου; 2 Ὦ παῖδες, ὅτι μὲν ἐστὲ πατέρων ἀγαθῶν, αὐτὸ μηνύει τὸ νῦν παρόν· ἡμῖν δὲ ἐξὸν ζῆν μὴ καλῶς, καλῶς αἱρούμεθα μᾶλλον τελευτᾷν, πρὶν ὑμᾶς τε καὶ τοὺς ἔπειτα εἰς ὀνείδη καταστῆσαι, καὶ πρὶν τοὺς ἡμετέρους πατέρας, καὶ πᾶν τὸ πρόσθεν γένος αἰσχύναι. 3 Καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως. 4 Ἀχιλλεὺς λαβὼν δὲ ἡφαιστότευκτον πανοπλίαν, ἄλλους τε πολλοὺς, καὶ τελευταῖον ἀνεῖλεν Ἕκτορα. 5 Οἱ δὲ τῶν Βακτρίων ἱππεῖς, ὡς φεύγειν ἔμαθον Βῆσσον, ἄλλος ἄλλῃ ἐπὶ τὰ σφῶν ἕκαστοι ἀπηλλάγησαν. 6 Λέγεται δὲ Λακεδαιμονίους ἀποκρίνασθαι Ἀλεξάνδρῳ, μὴ εἶναι σφίσι πάτριον ἀκολουθεῖν ἄλλοις, ἀλλ' αὐτοὺς ἄλλων ἐξηγεῖσθαι. 7 Οἱ δὲ πολέμοι, πάν-

των ἐπὶ σφᾶς ἐλαυνόντων, ἐγκλίναντες ἔφευγον. 8 Μαχησόμεθα δὲ, εἰσόκε δαίμων ἄμμε διακρίνῃ, δώῃ δὲ ἑτέροις νίκην. 9 Νῶϊ δὲ, ἐγὼ καὶ Σθένελος μαχησόμεθα.

Iupiter et Vulcanus.

Ἡφ. Τί με, ὦ Ζεῦ, δεῖ ποιεῖν; ἥκω γὰρ, ὡς ἐκέλευσας, ἔχων τὸν πέλεκυν ὀξύτατον, εἰ καὶ λίθους δέοι μιᾷ πληγῇ διατεμεῖν. Ζ. Εὖ γε, ὦ Ἥφαιστε. Ἀλλὰ δίειλέ μου τὴν κεφαλὴν ἐς δύο κατενεγκών. Ἡφ. Πειρᾷ μου, εἰ μέμηνα; Πρόστατ-τε δ' οὖν τἀληθὲς, ὅπερ θέλεις σοι γενέσθαι. Ζ. Τοῦτ' αὐτὸ, διαιρεθῆναί μοι τὸ κρανίον· εἰ δὲ ἀπειθήσεις . . . . , οὐ νῦν πρῶτον ὀργιζομένου πειράσῃ μου. Ἀλλὰ χρὴ καθικνεῖσθαι παντὶ τῷ θυμῷ, μηδὲ μέλλειν· ἀπόλλυμαι γὰρ ὑπὸ τῶν ὠδίνων, αἵ μοι τὸν ἐγκέφαλον ἀναστρέφουσιν. Ἡφ. Ὅρα, ὦ Ζεῦ, μὴ κακόν τι ποιήσωμεν· ὀξὺς γὰρ ὁ πέλεκύς ἐστι, καὶ οὐκ ἀναιμωτὶ οὐδὲ κατὰ τὴν Εἰλείθυιαν μαιώσεταί σε. Ζ. Κατένεγκε μόνον, ὦ Ἥφαιστε, θαρρῶν· οἶδα γὰρ ἐγὼ τὸ συμφέρον. Ἡφ. Ἄκων μὲν, κατοίσω δέ· τί γὰρ χρὴ ποιεῖν, σοῦ κελεύοντος; Τί τοῦτο; κόρη ἔνοπλος! . . . . .

χισχιλίους, ἐλέφαντας δὲ ἑξήκοντα. 4 Ὁ Πλάτων ἐτελεύτησε τῷ πρώτῳ ἔτει τῆς ὀγδόης καὶ ἑκατοστῆς Ὀλυμπιάδος, βιοὺς ἔτος ἓν πρὸς τοῖς ὀγδοήκοντα. 5 Ἀθροίσας γὰρ Ξέρξης ἑβδομήκοντα μυριάδας ἐπὶ τοὺς Ἕλληνας, κακῶς ἀπήλλαξεν· εἶτα ἐπανελθὼν, αἴσχιστα ἀνθρώπων ἀπέθανεν, ἀποσφαγεὶς νύκτωρ ἐν τῇ εὐνῇ ὑπὸ τοῦ υἱοῦ. 6 Ἄσπονδος ἦν Θετταλοῖς πρὸς Φωκέας πόλεμος· οἱ μὲν γὰρ ἄρχοντας αὐτῶν καὶ τυράννους ἐν ταῖς Φωκικαῖς πόλεσιν ἡμέρᾳ μιᾷ πάντας ἀπέκτειναν, οἱ δὲ πεντήκοντα καὶ διακοσίους ἐκείνων ὁμήρους κατηλόησαν. 7 Φιλήμων ὁ κωμικὸς ἔγραψε δράματα ἑπτὰ καὶ ἐννενήκοντα. 8 Σιλουΐου ἑνὸς δέοντα τριάκοντα ἔτη βασιλεύσαντος, Αἰνείας, υἱὸς αὐτοῦ, ἑνὶ πλείω τριάκοντα ἐτῶν τὴν δυναστείαν εἶχεν. 9 Οἱ Λακεδαιμόνιοι τοῖς Ἀθηναίοις βοηθήσοντες ἐν τρισὶν ἡμέραις καὶ τοσαύταις νυξὶ διακόσια καὶ χίλια στάδια διῆλθον.

Cyri sepulcrum.

Εἶναι γὰρ (φασὶ) ἐν Πασαργάδαις ἐν τῷ παραδείσῳ τῷ βασιλικῷ Κύρου ἐκείνου τάφον· καὶ περὶ αὐτὸν ἄλσος ἐμπεφυτεῦσθαι δένδρων παντοί-

των, καὶ ὕδατι εἶναι κατάῤῥυτον, καὶ πόαν βαθεῖαν πεφυκέναι ἐν τῷ λειμῶνι· καὶ αὐτὸν δὲ τὸν τάφον τὰ κάτω λίθῳ τετραπέδῳ ἐς τετράγωνον σχῆμα πεποιῆσθαι· ἄνωθεν δὲ οἴκημα ἐπεῖναι λίθινον ἐστεγασμένον, θυρίδα ἔχον φέρουσαν ἔσω στενὴν, ὡς μόλις ἂν ἑνὶ ἀνδρὶ οὐ μεγάλῳ, πολλὰ κακοπαθοῦντι παρελθεῖν· ἐν δὲ τῷ οἰκήματι πύελον χρυσῆν κεῖσθαι, ἵνα τὸ σῶμα τοῦ Κύρου ἐτέθαπτο, καὶ κλίνην παρὰ τῇ πυέλῳ· πόδας δὲ εἶναι τῇ κλίνῃ χρυσοῦς σφυρηλάτους, καὶ τάπητα ἐπιβλημάτων Βαβυλωνίων, καὶ καυνάκας πορφυροῦς ὑποστρώννυσθαι· ἐπεῖναι δὲ καὶ κάνδυς, καὶ ἄλλους χιτῶνας τῆς Βαβυλωνίου ἐργασίας· καὶ ἀναξυρίδες Μηδικαὶ καὶ στολαὶ ὑακινθινοβαφεῖς ἔκειντο· αἱ δὲ πορφύρας, αἱ δὲ ἄλλης καὶ ἄλλης χρόας· καὶ στρεπτοὶ, καὶ ἀκινάκαι, καὶ ἐνώτια χρυσοῦ τε καὶ λίθων κολλητά· καὶ τράπεζα ἔκειτο. Ἐν μέσῳ δὲ τῆς κλίνης ἡ πύελος ἔκειτο, ἡ τὸ σῶμα τοῦ Κύρου ἔχουσα· εἶναι δὲ ἐντὸς τοῦ περιβόλου, πρὸς τῇ ἀναβάσει τῇ ἐπὶ τὸν τάφον φερούσῃ, οἴκημα σμικρὸν τοῖς μάγοις πεποιημένον, οἳ δὴ ἐφύλασσον τὸν Κύρου τάφον, ἔτι ἀπὸ Καμβύσου τοῦ Κύρου, παῖς παρὰ πατρὸς ἐκδεχόμενοι τὴν

φυλακήν. Καὶ τούτοις πρόβατόν τε ἐς ἡμέραν ἐδίδοτο ἐκ βασιλέως, καὶ ἀλεύρων τε καὶ οἴνου τεταγμένα, καὶ ἵππος κατὰ μῆνα ἐς θυσίαν τῷ Κύρῳ. Ἐπεγέγραπτο δὲ ὁ τάφος Περσικοῖς γράμμασι, καὶ ἐδήλου Περσιστὶ τάδε· «Ὦ ἄνθρωπε, ἐγὼ Κῦρος εἰμι ὁ Καμβύσου, ὁ τὴν ἀρχὴν Πέρσαις καταστησάμενος, καὶ τῆς Ἀσίας βασιλεύσας· μὴ οὖν φθόνει μοι τοῦ μνήματος». Ἀρριαν. ς'.

CAPUT X. De Verbo.

Περὶ ῥήματος. Ῥῆμα ἐστὶ λόγου μέρος ἄπτωτον, ἤτοι μὴ ἔχον πτώσεις, διαφόρους χρόνους δηλοῦν ἐν ἰδίοις μετασχηματισμοῖς. Οὕτω καὶ τῷ ῥήματι ὀκτὼ τινὰ παρακολουθοῦσιν· ἐγκλίσεις, διαθέσεις, εἴδη, σχήματα, ἀριθμοὶ, πρόσωπα, χρόνοι, καὶ συζυγίαι.

De Modis.

Περὶ ἐγκλίσεων· Ἔγκλισις μὲν οὖν ἐστι βουλήματος ψυχῆς ἔμφασις. Τὰ δὲ βουλήματα τῆς ψυχῆς κεφαλαιωδῶς εἰσὶ τέσσαρα· ἢ γὰρ ἀληθεύειν καὶ ψεύδεσθαι βούλεται ἡ ψυχὴ, καὶ λέγεται αὕτη βούλησις ὁριστικὴ, ὡς ὁρίζουσα τὸ ψεῦδος καὶ τὴν ἀλήθειαν· ἢ προστάσσειν βούλεται, καὶ

λέγεται ἡ βούλησις αὕτη προστακτική· ἢ εὔχεσθαι θέλει, καὶ λέγεται αὕτη ἡ θέλησις εὐκτική· ἢ αἰτίαν τινὰ παριστάνειν βούλεται, καὶ λέγεται αὕτη ἡ βούλησις ὑποτακτική. Ἐπεὶ γοῦν τέσσαρες εἰσὶν αἱ τῆς ψυχῆς θελήσεις, τέσσαρες ἀκολούθως καὶ αἱ τῶν ῥημάτων ἐγκλίσεις. Οὐ γὰρ ἁπλῶς ἡ γλῶσσα ἐξ ἑαυτῆς τὰ παρατυχόντα λαλεῖ· ἀλλὰ τὰ τῆς ψυχῆς θελήματα διαφωτίζει καὶ ἐξαγγέλλει. Ἔγκλισις δὲ τὸ τοιοῦτον λέγεται, διότι περὶ ἑκάστου θέλησιν ἐγκλίνεται, ἤτοι τρέπεται ἡ ψυχή· ὅταν οὖν εὔξασθαι ἡ ψυχὴ βουληθῇ, καὶ ἐγκλιθῇ πρὸς τὴν εὐχὴν καὶ τραπῇ, τηνικαῦτα καὶ ἡ γλῶττα εὐκτικὰ προβάλλει τὰ ῥήματα· καὶ λέγομεν τὰ τοιαῦτα ἔγκλισιν εὐκτικήν. Τοιοῦτον μὲν ἡ ἔγκλισις. Μέρη δὲ αὐτῆς κυρίως μὲν τέσσαρα, ὡς προείπομεν· τὸ ὁριστικὸν, οἷον τὸ λέγω· τὸ προστακτικὸν, οἷον λέγε· τὸ εὐκτικὸν, οἷον γένοιτό μοι κατὰ τὸ ῥῆμα σου· καὶ τὸ ὑποτακτικὸν, ὅπερ αἰτίαν τινὰ ὑπεμφαίνει, οἷον ἐὰν εἴπω μὲν ὅτι ἐδόθη σοι χάρτης, ἵνα μανθάνῃς.

De Infinitivo.

Περὶ ἀπαρεμφάτων. Ἡ δὲ ἀπαρέμφατος οὐκ ἐστὶ κυρίως ἔγκλισις, ἀλλὰ καταχρηστικῶς· διό-

τι οὐ δὲ βούλημα ψυχῆς δηλοῖ. Διὰ τοῦτο γὰρ καὶ ὁ Τεχνικὸς ἀπαρέμφατον αὐτὴν προσηγόρευσεν, ὡς μὴ παρεμφαίνουσαν ποῖον οὖν ψυχῆς βούλημα.

De Vocibus.

Περὶ διαθέσεων. Διάθεσις δέ ἐστι δήλωσις ἢ τοῦ ἐνεργεῖν, ἢ τοῦ πάσχειν, ἢ τοῦ μέσως ἔχειν. Εἰ μὲν γὰρ εἴπω ἰατρεύω, ἰδοὺ ἐδήλωσα ὅτι διάκειμαι κατ' ἐνέργειαν· καὶ ἐγὼ ἐνεργῶ τῷ πάσχοντι τὴν ὑγείαν. Εἰ δὲ εἴπω ὅτι ἰατρεύομαι, ὑπέφηνα ὅτι κατὰ πάθος διάκειμαι, καὶ πάσχω τὴν ὑγείαν παρὰ τοῦ ἰατρεύοντος. Τὸ δὲ ἰατρευσάμην μέσον ἐστί· δηλοῖ γὰρ καὶ τὸ ἰατρεύω ἐνεργητικῶς, δηλοῖ δὲ καὶ τὸ ἰατρεύθην παθητικῶς, ὡς ἂν αὐτῷ τὶς χρήσηται. Εἰ μὲν γὰρ εἴπῃς ὅτι ἐγὼ ἰατρευσάμην τὸν ἄρρωστον, ἐνεργητική ἐστι ἡ σημασία τοῦ ἰατρευσάμην· ἀντὶ γὰρ τοῦ ἰάτρευσα τέτακται. Εἰ δὲ εἴπῃς ὅτι ἐγὼ ἰατρευσάμην ὑπὸ τοῦ ἰατροῦ, παθητική ἐστιν ἡ σημασία τοῦ ἰατρευσάμην· ἀντὶ γὰρ τοῦ ἰατρεύθην λαμβάνεται. Τρεῖς οὖν αἱ διαθέσεις, ἐνέργεια, πάθος, μεσότης. Παρακολουθοῦσι δὲ αὗται ἐξ ἀνάγκης τῷ ῥήματι· πᾶσα λέξις ῥηματικὴ, ἢ ἐνεργητική ἐστι, ἢ παθητικὴ, ἢ μέση.

De verborum speciebus.

Περὶ εἰδῶν. Εἴδη δὲ ῥημάτων εἰσὶ δύο· πρωτότυπον καὶ παράγωγον. Πρωτότυπον μὲν τὸ μὴ ἀφ᾽ ἑτέρου τινὸς γινόμενον, οἷον λέγω· παράγωγον δὲ τὸ ἀπὸ πρωτοτύπου τινὸς παραγόμενον, οἷον τὸ εὐλογῶ. Τὸ μὲν γὰρ λέγω ἀπὸ τινὸς οὐ παράγεται, καὶ διὰ τοῦτο ἐστὶ πρωτότυπον· τὸ δὲ εὐλογῶ ἀπὸ τοῦ εὖ παράγεται καὶ τοῦ λόγος, καὶ διὰ τοῦτο παράγωγον λέγεται. Οὐ μόνον δὲ ἡ ἔγκλισις καὶ ἡ διάθεσις ἐξ ἀνάγκης παρέπεται τῷ ῥήματι, ἀλλὰ δὴ καὶ τὸ εἶδος· πᾶσα γὰρ λέξις ῥηματικὴ ἢ πρωτότυπος ἐστὶν, ἢ παράγωγος.

De verborum figuris.

Περὶ σχημάτων. Σχήματα δὲ ῥημάτων εἰσὶ τρία· τὸ ἁπλοῦν, τὸ σύνθετον, καὶ τὸ παρασύνθετον. Καὶ ἁπλοῦν μὲν ῥῆμα λέγεται τὸ ἀσύνθετον, ὅπερ μίαν ἔχει λέξιν, οἷον τὸ λέγω καὶ φιλῶ· σύνθετον δὲ τὸ ἀπὸ δύο συγκείμενον λέξεων, οἷον εὐλογῶ, φιλοσοφῶ· καὶ γὰρ τὸ εὐλογῶ ἀπὸ τῆς εὖ καὶ τοῦ λόγος σύγκειται, καὶ τὸ φιλοσοφῶ ἀπὸ τοῦ φιλῶ καὶ τοῦ σοφός. Παρασύνθετον δὲ, τὸ μὴ μόνον ἀπὸ δύο, ἀλλὰ καὶ ἀπὸ τριῶν συγκείμενον

λέξεων, οἷον τὸ ὑπερευλογῶ, καὶ τὸ ὑπερφιλοσοφῶ· τούτων γὰρ τὸ μὲν ἀπὸ τοῦ ὑπὲρ καὶ τοῦ εὐ καὶ τοῦ λόγος σύγκειται· τὸ δὲ ἀπὸ τοῦ ὑπὲρ καὶ τοῦ φιλῶ καὶ τοῦ σοφός. Παρέπεται οὖν καὶ τὸ σχῆμα ἐξ ἀνάγκης τῷ ῥήματι· πᾶσα γὰρ λέξις ῥηματικὴ ἢ ἁπλῆ ἐστι καὶ ἀσύνθετος, ἤγουν μονόλεξος, ἢ σύνθετος καὶ δίλεξος, ἢ παρασύνθετος καὶ πολύλεξος.

De numeris.

Περὶ ἀριθμῶν. Ἀριθμοὶ δέ εἰσι τρεῖς· ὁ ἑνικὸς, ὁ δυϊκὸς, καὶ ὁ πληθυντικός. Παρέπονται δὲ καὶ οὗτοι τῷ ῥήματι· ἅπαν γὰρ ῥῆμα ἢ ἑνικῶς ἐκφέρεται, ὡς τὸ λέγω, λέγεις, λέγει· (ἕκαστον γὰρ τούτων ἕνα ἄνθρωπον εἰσάγει λέγοντα, τὸ μὲν λέγω ἐμὲ, τὸ δὲ λέγεις σὲ, τὸ δὲ λέγει ἐκεῖνον)· ἢ δυϊκῶς, ὡς τὸ λέγετον, τοῦτο γὰρ δύο μόνους εἰσάγει λέγοντας· ἢ πληθυντικῶς, ὡς τὸ λέγομεν, λέγετε, λέγουσι· ταῦτα γὰρ πολλοὺς εἰσάγει τοὺς λέγοντας.

De personis.

Περὶ προσώπων. Πρόσωπα τρία, πρῶτον, δεύτερον, τρίτον. Καὶ πρῶτον μέν ἐστι πρόσωπον, ὅταν ὁ λέγων περὶ ἑαυτοῦ τὸν λόγον ποιῆται, οἷον

ἐγὼ τύπτω, ἐγὼ γράφω· δεύτερον δὲ πρόσωπόν ἐστι, ὅταν περὶ τοῦ ὁμιλοῦντος αὐτῷ λέγῃ, οἷον σὺ ἀκούεις, σὺ λέγεις· τρίτον πρόσωπόν ἐστι, ὅταν περί τινος ἐκτὸς ὁ λόγος γίνηται, οἷον ἐκεῖνος γράφει, ἐκεῖνος διαλέγεται. Παρακολουθοῦσι δὲ καὶ ταῦτα τῷ ῥήματι· ἅπαν γὰρ ῥῆμα ἢ πρωτοπροσώπως, ἢ δευτεροπροσώπως, ἢ τριτοπροσώπως ἐκφέρεται. Θεοδώρ. Προδρώμ. Γραμμ.

De temporibus.

Περὶ χρόνων. Χρόνοι δὲ ἕξ· Ἐνεστὼς, οἷον τύπτω· Παρατατικὸς, οἷον ἔτυπτον· Παρακείμενος, οἷον τέτυφα· Ὑπερσυντέλικος, οἷον ἐτετύφειν· Ἀόριστος, οἷον ἔτυψα· Μέλλων, οἷον τύψω.

De conjugationibus (classes verborum).

Περὶ συζυγιῶν. Συζυγίαι δὲ δεκατρεῖς· ἓξ τῶν βαρυτόνων ῥημάτων· τρεῖς τῶν περισπωμένων· καὶ τέσσαρες τῶν εἰς μι.

Πρώτη. Πρώτη συζυγία ἐστὶ τῶν βαρυτόνων ῥημάτων, τῶν ληγόντων εἰς β, π, φ, πτ, οἷον λείβω, τέρπω, γράφω, τύπτω· ὧν ὁ μέλλων εἰς ψ, οἷον λείψω, τέρψω, γράψω, τύψω· ὁ παρακείμενος εἰς φ, οἷον λέλειφα, τέτερφα, γέγραφα, τέτυφα·

Δευτέρα. Δευτέρα ἐστὶ τῶν ληγόντων εἰς γ, κ, χ, κτ, οἷον λέγω, πλέκω, τρέχω, τίκτω· ὧν ὁ μέλλων εἰς ξ, οἷον λέξω, πλέξω, τρέξω, τίξω· ὁ παρακείμενος εἰς χ, οἷον λέλεχα, πέπλεχα, τέτρεχα, τέτεχα·

Τρίτη. Τρίτη ἐστὶ τῶν ληγόντων εἰς δ, θ, τ, καὶ ττ ἀττικῶς, οἷον ἅδω, πλήθω, ἀνύτω· ὧν ὁ μέλλων εἰς σ, οἷον ἅσω, πλήσω, ἀνύσω· ὁ παρακείμενος εἰς κ, οἷον ἧκα, πέπληκα, ἤνυκα.

Τετάρτη. Τετάρτη ἐστὶ τῶν εἰς ζ, καὶ δύο σσ κοινῶς, οἷον φράζω, ὀρύσσω· καὶ τὰ μὲν εἰς ζω, ποτὲ μὲν τὸ ξ ἐν τῷ μέλλοντι ἔχουσιν, οἷον παίζω παίξω, σφάζω σφάξω, ὧν ὁ παρακείμενος τὸ χ ἔχει· ποτὲ δὲ τὸ σ ἐν τῷ μέλλοντι ἔχουσι, οἷον φράζω φράσω, βαδίζω βαδίσω, ὧν ὁ παρακείμενος τὸ κ ἔχει· τὰ δὲ εἰς σσω, ὡς ἐπὶ τὸ πλεῖστον, εἰς ξω τὸν μέλλοντα ποιοῦσιν, οἷον πλήσσω πλήξω, ὀρύσσω ὀρύξω, ὧν ὁ παρακείμενος τὸ χ ἔχει, οἷον πέπληχα, ὤρυχα. Ἐξαιρεῖται τὰ εἰς σω τὸν μέλλοντα ποιοῦντα, οἷον ἱμάσσω ἱμάσω, πλάσσω πλάσω, λεύσσω λεύσω, πάσσω πασω, ὧν ὁ παρακείμενος τὸ κ ἔχει.

Πέμπτη. Πέμπτη ἐστὶ τῶν τεσσάρων ἀμετα-

ϐόλων λ, μ, ν, ρ, οἷον ψάλλω, νέμω, κρίνω, σπείρω· ὧν ὁ μέλλων διὰ τοῦ αὐτοῦ ἀμεταϐόλου περισπώμενός ἐστι, τὴν παραλήγουσαν βραχεῖαν ἔχων ἀμετάϐολον, ἢ τὸ ι τῆς διφθόγγου ἐκϐάλλων, οἷον ψαλῶ, νεμῶ, κρινῶ σπερῶ· ὁ παρακείμενος εἰς κ, οἷον ἔψαλκα, νενέμηκα, κέκρικα, ἔσπαρκα.

Ἕκτη. Ἕκτη ἐστὶ τῶν εἰς ω καθαρὸν, οἷον ἱππεύω, πλέω, βασιλεύω, ἀκούω, ὧν ὁ μέλλων εἰς σ οἷον ἱππεύσω, πλεύσω, βασιλεύσω, ἀκούσω· ὁ παρακείμενος εἰς κ, οἷον ἵππευκα, βεϐασίλευκα, ἤκουκα κοινῶς, καὶ ἀκήκοα ἀττικῶς.

Τούτων οὕτως ἐχόντων, εἰδέναι δεῖ ὅτι πᾶν ῥῆμα ἢ εἰς ω βαρύτονον λήγει, ἢ εἰς ῶ περισπώμενον, ἢ εἰς μι. Κωνστ. Λασκ. Γραμμ.

Septem Indorum genera.

Νενέμηνται δὲ οἱ πάντες Ἰνδοὶ ἐς ἑπτὰ μάλιστα γενεάς· ἐν μὲν αὐτοῖσιν οἱ σοφισταί εἰσι, πλήθει μὲν μείους τῶν ἄλλων, δόξῃ δὲ καὶ τιμῇ γεραρώτατοι. Οὔτε γάρ τι τῷ σώματι ἐργάζεσθαι ἀναγκαίη σφὶν προσκέαται· οὔτε τι ἀποφέρειν ἀφ' ὅτου πονέουσιν ἐς τὸ κοινόν· οὐδέ τι ἄλλο ἀνάγκης ἁπλῶς ἐπεῖναι τοῖσι σοφιστῇσι, ὅτι μὴ θύειν

τὰς θυσίας τοῖσι θεοῖσιν ὑπὲρ τοῦ κοινοῦ τῶν Ἰνδῶν· καὶ ὅστις δὲ ἰδίᾳ θύει, ἐξηγητὴς αὐτῷ τῆς θυσίας τῶν τις σοφιστῶν τούτων γίνεται, ὡς οὐκ ἂν ἄλλως κεχαρισμένα τοῖς θεοῖς θύσαντας. Εἰσὶ δὲ καὶ μαντικῆς οὗτοι μοῦνοι Ἰνδῶν δαήμονες, οὐδὲ ἐφεῖται ἄλλῳ μαντεύεσθαι, ὅτι μὴ σοφῷ ἀνδρί. Μαντεύουσι δὲ ὅσα ὑπὲρ τῶν ὡραίων τοῦ ἔτεος, καὶ εἴ τις ἐς τὸ κοινὸν συμφορὴ καταλαμβάνει. Τὰ ἴδια δὲ ἑκάστοισιν οὔ σφιν μέλει μαντεύεσθαι· ἢ ὡς οὐκ ἐξικνεομένης τῆς μαντικῆς ἐς τὰ μικρότερα, ἢ ὡς οὐκ ἄξιον ἐπὶ τούτοισι πονέεσθαι. Ὅστις δὲ ἁμάρτοι ἐς τρεῖς μαντευσάμενος, τούτῳ δὲ ἄλλο μὲν κακὸν γίγνεσθαι οὐδὲν, σιωπᾷν δὲ εἶναι ἐπάναγκες τοῦ λοιποῦ· καὶ οὐκ ἔστιν ὅστις ἐξαναγκάσει τὸν ἄνδρα τοῦτον φωνῆσαι, ὅτου ἡ σιωπὴ κατακέκριται. Οὗτοι γυμνοὶ διαιτῶνται οἱ σοφισταὶ, τοῦ μὲν χειμῶνος ὑπαίθριοι ἐν τῷ ἡλίῳ, τοῦ δὲ θέρεος ἐπὴν ὁ ἥλιος κατέχῃ, ἐν τοῖσι λειμῶσι καὶ τοῖσιν ἕλεσιν ὑπὸ δένδρεσι μεγάλοισιν· ὧν τὴν σκιὴν Νέαρχος λέγει ἐς πέντε πλέθρα ἐν κύκλῳ ἐξικνέεσθαι, καὶ ἂν μυρίους ὑπὸ ἑνὶ δένδρεϊ σκιάζεσθαι· τηλικαῦτα εἶναι ταῦτα τὰ δένδρεα. Σιτέονται δὲ ὡραῖα, καὶ τὸν φλοιὸν τῶν

δένδρων, γλυκύν τε ὄντα τὸν φλοιὸν καὶ τρόφιμον, οὐ μεῖον ἤπερ αἱ βάλανοι τῶν φοινίκων.

Δεύτεροι δ' ἐπὶ τούτοισιν οἱ γεωργοί εἰσιν· οὗτοι πλήθει πλεῖστοι Ἰνδῶν ἐόντες· καὶ τούτοισιν οὔτε ὅπλα ἐστὶν ἀρήϊα, οὔτε μέλει τὰ πολέμια ἔργα, ἀλλὰ τὴν χώρην οὗτοι ἐργάζονται· καὶ τοὺς φόρους τοῖς τε βασιλεῦσι καὶ τῇσι πόλεσιν, ὅσαι αὐτόνομοι, οὗτοι ἀποφέρουσι. Καὶ εἰ πόλεμος ἐς ἀλλήλους τοῖσιν Ἰνδοῖσιν τύχοι, τῶν ἐργαζομένων τὴν γῆν οὐ θέμις σφὶν ἅπτεσθαι, οὐδὲ αὐτὴν τὴν γῆν τέμνειν· ἀλλὰ οἱ μὲν πολεμοῦσι καὶ κατακαίνουσιν ἀλλήλους ὅπως τύχοιεν· οἱ δὲ πλησίον αὐτῶν κατ' ἡσυχίην ἀροῦσι, ἢ τρυγῶσιν, ἢ κλαδοῦσιν, ἢ θερίζουσιν.

Τρίτοι δέ εἰσιν Ἰνδοῖσιν οἱ νομέες, οἱ ποιμένες τε καὶ βουκόλοι, καὶ οὗτοι οὔτε κατὰ πόλιας, οὔτε ἐν τῇσι κώμῃσιν οἰκέουσι· νομάδες τέ εἰσι, καὶ ἀνὰ τὰ ὄρεα βιοτεύουσι. Φόρον δὲ καὶ οὗτοι ἀπὸ τῶν κτηνέων ἀποφέρουσι· καὶ θηρεύουσιν οὗτοι ἀνὰ τὴν χώρην ὄρνιθάς τε καὶ ἄγρια θηρία.

Τέταρτον δέ ἐστι τὸ δημιουργικόν τε καὶ καπηλικὸν γένος. Καὶ οὗτοι λειτουργοί εἰσι, καὶ φόρον ἀποφέρουσι ἀπὸ τῶν ἔργων τῶν σφετέρων,

πλὴν γε δὴ ὅσοι τὰ ἀρήϊα ὅπλα ποιέουσιν· οὗτοι δὲ καὶ μισθὸν ἐκ τοῦ κοινοῦ προσλαμβάνουσιν. Ἐν δὲ τούτῳ τῷ γένει οἵ τε ναυπηγοὶ καὶ οἱ ναῦταί εἰσι, ὅσοι κατὰ τοὺς ποταμοὺς πλώουσι.

Πέμπτον δὲ γένος ἐστὶν Ἰνδοῖσιν, οἱ πολεμισταί· πλήθει μὲν δεύτερον μετὰ τοὺς γεωργοὺς, πλείστῃ δὲ ἐλευθερίῃ τε καὶ εὐθυμίῃ ἐπιχρεόμενον· καὶ οὗτοι ἀσκηταὶ μόνων τῶν πολεμικῶν ἔργων εἰσί. Τὰ δὲ ὅπλα ἄλλοι αὐτοῖς ποιέουσι, καὶ ἵππους ἄλλοι παρέχουσι· καὶ διακονοῦσιν ἐπὶ στρατοπέδου ἄλλοι, οἵ τούς τε ἵππους αὐτοῖς θεραπεύουσι, καὶ τὰ ὅπλα ἐκκαθαίρουσι, καὶ τοὺς ἐλέφαντας ἄγουσι, καὶ τὰ ἅρματα κοσμέουσί τε καὶ ἡνιοχεύουσιν. Αὐτοὶ δὲ, ἔστ' ἂν μὲν πολεμεῖν δεῖ, πολεμοῦσιν· εἰρήνης δὲ γενομένης, εὐθυμέουσι· καί σφιν μισθὸς ἐκ τοῦ κοινοῦ τοσόσδε ἔρχεται, ὡς καὶ ἄλλους τρέφειν ἀπ' αὐτοῦ εὐμαρέως.

Ἕκτοι δέ εἰσιν Ἰνδοῖσιν οἱ ἐπίσκοποι καλεόμενοι, Οὗτοι ἐφορῶσι τὰ γινόμενα κατά τε τὴν χώρην, καὶ κατὰ τὰς πολίας· καὶ ταῦτα ἀναγγέλλουσι τῷ βασιλεῖ, ἵναπερ βασιλεύονται Ἰνδοί· ἢ τοῖς τέλεσιν, ἵναπερ αὐτόνομοι εἰσί. Καὶ τούτοις οὐ θέμις ψεῦδος ἀναγγεῖλαι οὐδὲν, οὐδέ τις Ἰνδῶν

αἰτίην ἔσχε ψεύσασθαι. Ἕβδομοι δέ εἰσιν οἱ ὑπὲρ τῶν κοινῶν βουλευόμενοι ὁμοῦ τῷ βασιλεῖ, ἢ κατὰ πόλιας, ὅσαι αὐτόνομοι, σὺν τῇσιν ἀρχῇσι. Πλήθει μὲν ὀλίγον τὸ γένος τοῦτό ἐστι, σοφίῃ δὲ καὶ δικαιότητι ἐκ πάντων προκεκριμένον· ἔνθεν οἵ τε ἄρχοντες αὐτοῖσιν ἐπιλέγονται, καὶ ὅσοι νομάρχαι καὶ ὕπαρχοι καὶ θησαυροφύλακές τε καὶ στρατοφύλακες, ναύαρχοί τε καὶ ταμίαι, καὶ τῶν κατὰ γεωργίην ἔργων ἐπιστάται. Γαμέειν δὲ ἐξ ἑτέρου γένεος οὐ θέμις· οἷον τοῖσι γεωργοῖσιν ἐκ τοῦ δημιουργικοῦ, ἢ ἔμπαλιν· οὐδὲ δύο τέχνας ἐπιτηδεύειν τὸν αὐτὸν, οὐδὲ τοῦτο θέμις· οὐδὲ ἀμείβειν ἐξ ἑτέρου γένεος εἰς ἕτερον· οἷον γεωργικὸν ἐκ νομέως γενέσθαι, ἢ νομέα ἐκ δημιουργικοῦ. Μοῦνον σφίσιν ἀνεῖται σοφιστὴν ἐκ παντὸς γένεος γενέσθαι· ὅτι οὐ μαλθακὰ τοῖσι σοφιστῇσιν εἶναι τὰ πρήγματα, ἀλλὰ πάντων ταλαιπωρότατα.

Ἀρριαν. Ἰνδικῆ.

De circunflexis verbis.

Περὶ τῶν περισπωμένων ῥημάτων. Τὰ περισπώμενα ῥήματα ἀπὸ τῆς ἕκτης συζυγίας τῶν βαρυτόνων κατὰ συναίρεσιν γίνεται, οἷον ἀπὸ τοῦ

ποιέω ποιῶ. Εἰσὶ δὲ τούτων αἱ συζυγίαι τρεῖς, ὧν ἡ πρώτη διὰ τοῦ εω προφέρεται, οἷον ποιέω ποιῶ· καὶ ἐν τῇ παραληγούσῃ τοῦ μέλλοντος καὶ πάντων τῶν παρῳχημένων πλὴν τοῦ παρατατικοῦ τὸ η ἔχει, οἷον πεποίηκα, ἐπεποιήκειν, ἐποίησα, ποιήσω, πλὴν τινῶν διὰ τοῦ εσω τὸν μέλλοντα ποιούντων, οἷον τελῶ τελέσω, ὀλῶ ὀλέσω.

Ἡ δευτέρα συζυγία τῶν περισπωμένων διὰ τοῦ αω προφέρεται, οἷον βοάω βοῶ, δράω δρῶ· καὶ ἐν τῇ παραληγούσῃ τοῦ μέλλοντος τὸ η, ἢ τὸ α ἔχει, οἷον βοήσω, δράσω.

Ἡ τρίτη συζυγία διὰ τοῦ οω προφέρεται, οἷον χρυσόω χρυσῶ· καὶ ἐν τῇ παραληγούσῃ τοῦ μέλλοντος τὸ ω ἔχει, οἷον χρυσώσω, πλὴν τοῦ ἀρόω ἀρόσω, ὀμόω ὀμόσω, ἐνόω ἐνόσω, βόω βόσω, ὀνόω ὀνόσω.

Δεῖ δὲ εἰδέναι ὅτι σπανίως εὑρίσκωνται μέσοι παρακείμενοι καὶ δεύτεροι ἀόριστοι ἐπὶ τῆς πρώτης καὶ δευτέρας συζυγίας τῶν περισπωμένων, οἷον κτυπῶ ἔκτυπα ἔκτυπον, δουπῶ δέδουπα ἔδουπον, μυκῶ μέμυκα ἔμυκον, χραισμῶ ἔχραισμον, ὀλισθῶ ὤλισθον, ἁμαρτῶ ἥμαρτον, βλαστῶ ἔβλαστον· ἐπὶ δὲ τῆς τρίτης οὐδαμῶς. Λασκ.

Discendi studium.

Ἐὰν ᾖς φιλομαθὴς, ἔσῃ πολυμαθής. Ἃ μὲν ἐπίστασαι, διαφύλαττε ταῖς μελέταις· ἃ δὲ μὴ μεμάθηκας, προσλάμβανε ταῖς ἐπιστήμαις. Ὁμοίως γὰρ αἰσχρὸν ἀκούσαντα χρήσιμον λόγον μὴ μανθάνειν, καὶ διδόμενόν τι ἀγαθὸν παρὰ τῶν φίλων μὴ λαβεῖν. Καταναλίσκε τὴν ἐν βίῳ σχολὴν εἰς τὴν τῶν λόγων φιληκοΐαν· οὕτω γὰρ τὰ τοῖς ἄλλοις χαλεπῶς εὑρημένα, συμβήσεταί σοι ῥᾳδίως μανθάνειν. Ἡγοῦ τῶν ἀκουσμάτων πολλὰ πολλῶν εἶναι χρημάτων κρείττω· τὰ μὲν γὰρ ταχέως ἀπολείπει, τὰ δὲ πάντα τὸν χρόνον παραμένει. Σοφία γὰρ μόνη τῶν κτημάτων ἀθάνατον. Μὴ κατόκνει μακρὰν ὁδὸν πορεύεσθαι πρὸς τοὺς διδάσκειν τι χρήσιμον ἐπαγγελλομένους· αἰσχρὸν γὰρ τοὺς μὲν ἐμπόρους τηλικαῦτα πελάγη διαπερᾷν ἕνεκα τοῦ πλείω ποιῆσαι τὴν ὑπάρχουσαν οὐσίαν, τοὺς δὲ νεωτέρους μηδὲ τὰς κατὰ γῆν πορείας ὑπομένειν ἐπὶ τῷ βελτίω καταστῆσαι τὴν ἑαυτῶν διάνοιαν. Τῷ μὲν τρόπῳ γίνου φιλοπροσήγορος, τῷ δὲ λόγῳ εὐπροσήγορος· ἔστι δὲ φιλοπροσηγορίας μὲν τὸ προσφωνεῖν τοὺς ἀπαντῶντας, εὐπροσηγορίας δὲ τὸ τοῖς λόγοις αὐτοῖς οἰκείως ἐντυγχά-

νειν. Ἡδέως μὲν ἔχε πρὸς ἅπαντας, χρῶ δὲ τοῖς βελτίστοις. Οὕτω γὰρ τοῖς μὲν οὐκ ἀπεχθὴς ἔσῃ, τοῖς δὲ φίλος γενήσῃ. Τὰς ἐντεύξεις μὴ πυκνὰς ποιοῦ τοῖς αὐτοῖς, μηδὲ μακρὰς περὶ τῶν αὐτῶν· πλησμονὴ γὰρ πάντων. Ἰσοκράτ. πρὸς Δημονικ.

De in μι verbis.

Περὶ τῶν εἰς μι ῥημάτων. Τὰ εἰς μι ῥήματα ἀπὸ τῶν περισπωμένων ῥημάτων γίνονται. Εἰσὶ δὲ τούτων αἱ συζυγίαι τέσσαρες· ὧν ἡ πρώτη ἀπὸ τῆς πρώτης τῶν περισπωμένων γίνεται, οἷον τιθέω ῶ, τίθημι· ἔχει δὲ τὸ η ἐν τῇ παραληγούσῃ τοῦ ἐνεργητικοῦ, τὸ ε δὲ ἐν τῇ τοῦ παθητικοῦ, οἷον τίθημι, τίθεμαι.

Δευτέρα συζυγία τῶν εἰς μι γίνεται ἀπὸ τῆς δευτέρας τῶν περισπωμένων, οἷον ἱστάω ῶ, ἵστημι· ἔχει δὲ τὸ η ἐν τῇ παραληγούσῃ τοῦ ἐνεργητικοῦ, τὸ α δὲ ἐν τῇ τοῦ παθητικοῦ, οἷον ἵστημι, ἵσταμαι.

Ἡ τρίτη συζυγία τῶν εἰς μι γίνεται ἀπὸ τῆς τρίτης τῶν περισπωμένων, οἷον διδόω ῶ, δίδωμι· ἔχει δὲ τὸ ω ἐν τῇ παραληγούσῃ τοῦ ἐνεργητικοῦ, τὸ δὲ ο ἐν τῇ τοῦ παθητικοῦ, ὡς δίδωμι, δίδομαι.

Ἡ τετάρτη συζυγία τῶν εἰς μι γίνεται ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων ῥημάτων εἰς υω ληγόντων, οἷον ζευγνύω, ζεύγνυμι. Ἔχει δὲ τὸ υ ἐν τῇ παραληγούσῃ τοῦ ἐνεργητικοῦ, καὶ παθητικοῦ, οἷον ζεύγνυμι, ζεύγνυμαι· καὶ μόνον μέχρι παρατατικοῦ κλίνεται.

Κοινὸν δὲ αὐταῖς ταῖς συζυγίαις ἐν τῷ μέλλοντι ἀποβάλλειν τὴν πρώτην συλλαβήν· τίθημι θήσω, ἵστημι στήσω, δίδωμι δώσω· καὶ ἐν μὲν τοῖς ἐνεργητικοῖς μακρᾷ παραλήγειν, ἐν δὲ τοῖς παθητικοῖς βραχείᾳ· εἰ μή που ποιητικῇ ἀδείᾳ τοὐναντίον ἐν τοῖς παθητικοῖς γένοιτο, ὡς τίθημαι, ἀκάχημαι, δίζημαι, καὶ ἄλλα ἰωνικά. Οἱ δὲ Αἰολεῖς τίθεμι, ἵσταμι λέγουσι, καὶ τὰ περισπώμενα ῥήματα εἰς μι ποιοῦσι, οἷον νόημι ἀντὶ νοῶ, φίλημαι ἀντὶ φιλῶ, αἴνιμι (παρ' Ἡσιόδῳ) ἀντὶ αἰνῶ. Καὶ τὰ μὲν εἰς μι ἐν μὲν τῷ ἐνεστῶτι καὶ παρατατικῷ καὶ ἀορίστῳ δευτέρῳ ἰδίαν ἔλαχον κλίσιν· ἐν δὲ τοῖς ἄλλοις χρόνοις ὁμοιοτρόπως τοῖς βαρυτόνοις κλίνονται, ἃ πρὸ τῶν ἄλλων δεῖ καλῶς μαθεῖν. Κωνστ. Λασκ. Γραμμ.

De amicitia.

Μηδένα φίλον ποιοῦ, πρὶν ἂν ἐξετάσῃς, πῶς

κέχρηται τοῖς προτέροις φίλοις· ἔλπιζε γὰρ αὐτὸν καὶ περί σε γενέσθαι τοιοῦτον, οἷος καὶ περὶ ἐκείνους γέγονε. Βραδέως μὲν φίλος γίνου, γενόμενος δὲ πειρῶ διαμένειν· ὁμοίως γὰρ αἰσχρὸν μηδένα φίλον ἔχειν, καὶ πολλοὺς ἑταίρους μεταλλάττειν. Μήτε μετὰ βλάβης πειρῶ τῶν φίλων, μήτε ἄπειρος εἶναι τῶν ἑταίρων θέλε· τοῦτο δὲ ποιήσεις, ἂν μὴ δεόμενος τὸ δεῖσθαι προσποιῇ. Περὶ τῶν ῥητῶν ὡς ἀποῤῥήτων ἀνακοίνου. Μὴ τυχὼν μὲν γὰρ οὐδὲν βλαβήσῃ· τυχὼν δὲ, μᾶλλον τὸν τρόπον αὐτῶν ἐπιστήσῃ. Δοκίμαζε τοὺς φίλους ἔκ τε τῆς περὶ τὸν βίον ἀτυχίας, καὶ τῆς ἐν τοῖς κινδύνοις κοινωνίας· τὸ μὲν γὰρ χρυσίον ἐν τῷ πυρὶ δοκιμάζομεν, τοὺς δὲ φίλους ἐν ταῖς ἀτυχίαις διαγινώσκομεν. Οὕτω δ' ἂν ἄριστα χρήσῃ τοῖς φίλοις, ἂν μὴ περιμένῃς τὰς παρ' ἐκείνων δεήσεις· ἀλλ' αὐτεπάγγελτος ἐν τοῖς καιροῖς αὐτοῖς βοηθῇς. Ὁμοίως αἰσχρὸν νόμιζε τῶν ἐχθρῶν νικᾶσθαι ταῖς κακοποιΐαις, καὶ τῶν φίλων ἡττᾶσθαι ταῖς εὐεργεσίαις. Ἀποδέχου τῶν ἑταίρων μὴ μόνον τοὺς ἐπὶ τοῖς κακοῖς δυσχεραίνοντας, ἀλλὰ καὶ τοὺς ἐπὶ τοῖς ἀγαθοῖς μὴ φθονοῦντας· πολλοὶ μὲν γὰρ ἀτυχοῦσι τοῖς φίλοις συνάχθονται, καλῶς δὲ πράτ-

τουσι φθονοῦσι. Τῶν ἀπόντων φίλων μέμνησο πρὸς τοὺς παρόντας, ἵνα δοκῇς μήτε τούτων ἀπόντων ὀλιγωρεῖν. Ἰσοκρατ. πρὸς Δημονικ.

De augmentis.

Πᾶν δὴ ῥῆμα ἢ ἀπὸ φωνήεντος ἄρχεται, ἢ ἀπὸ διφθόγγου, ἢ συμφώνου· εἰ μὲν ἀπὸ φωνήεντος, ἢ μεταβολικοῦ, ἢ ἀμεταβόλου. Εἰ μὲν ἀπὸ ἀμεταβόλου, δηλονότι η, ι, υ, ω, οὐδεμία τροπὴ γίνεται ἐν τοῖς παρῳχημένοις· ταῦτά τοι καὶ ἀμετάβολα προσηγόρευται, ὡς μὴ τρεπόμενα.

Εἰ δὲ τὸ ῥῆμα ἄρχεται ἀπὸ φωνήεντος μεταβολικοῦ, εἴτουν τρεπτοῦ, δηλονότι α, ε, ο, γίνεται τροπὴ ἐν τοῖς παρῳχημένοις, ἣν χρονικὴν αὔξησιν καλοῦμεν. Καὶ εἰ μὲν ἄρχεται ἀπὸ τοῦ α, τρέπεται κοινῶς τὸ α εἰς η, οἷον ἀνύω, ἤνυον, ἤνυκα, ἠνύκειν, ἤνυσα· ἐξαιρεῖται τὸ ἀηθέσσω, καὶ ἀηδίζομαι διὰ τὴν ἐπαλληλίαν τῶν δύο ηη, καὶ ἄω (τὸ πνέω), καὶ ἀΐω (τὸ ἀκούω) ἵνα μὴ συνεμπέσωσι τῷ ἦον, καὶ τῷ ᾔϊον (τὸ ἐπορευόμην).

Εἰ δὲ ἀπὸ τοῦ ε ἄρχεται, ὁμοίως τρέπεται τὸ ε εἰς η· πλὴν τῶν σεσημειωμένων ἔχω, ἔπω, ἕλω, ἑστιάω, ἕπομαι, ἐάω, ἑστίω, ἑρπύζω, ἕρπω, ἑλ-

χω, ἐθελύω, ἐρύω, ἐθίζω, ἔθω, ἕω, ἐργάζομαι, ἐν οἷς μόνον τὸ ε προσλαμβάνει καὶ ι.

Εἰ δὲ ἀπὸ τοῦ ο, τρέπεται τὸ ο εἰς ω, οἷον ὀνομάζω, ὠνόμαζον, ὠνόμακα, ὠνομάκειν, ὠνόμασα. Παρὰ ποιηταῖς δὲ τὰ τοιαῦτα ἀναύξητα, εἴτε ἄτρεπτα μένουσι διὰ τὸ μέτρον ἔθει ἰωνικῷ.

Εἰ δὲ ἀπὸ διφθόγγου ἄρχεται τὸ ῥῆμα, ἢ ἀπὸ τρεπτικῆς ἢ ἀπὸ ἀτρέπτου· εἰ μὲν ἀπὸ ἀτρέπτου, δηλονότι ει, ευ, ου, οὐδεμία τροπὴ γίνεται· εἰ δὲ ἀπὸ τρεπτικῆς, δηλονότι αι, αυ, οι, γίνεται ἡ αὐτὴ τροπὴ τῶν μεταβολικῶν φωνηέντων· εἰ μὲν ἀπὸ τοῦ αι, τρέπεται τὸ α εἰς η καὶ τὸ ι ὑπογράφεται, οἷον αἴρω, ᾖρον, ᾖρκα, ᾐρκειν· εἰ δὲ ἀπὸ τῆς αυ, τρέπεται τὸ α εἰς η, οἷον αὐλέω, ηὔλεον, ηὔληκα, ηὐλήκειν, ηὔλησα. εἰ δὲ ἀπὸ τῆς οι, τρέπεται τὸ ο εἰς ω, καὶ τὸ ι ὑπογράφεται, οἷον οἰκτείρω, ᾤκτειρον, ᾤκτειρα, πλὴν τῶν σεσημειωμένων ἀτρέπτων οἰῶμαι, οἰμῶ, οἰνῶ, οἰνίζω, οἰστρῶ, οἰωνίζομαι, οἰωνοσκοπῶ, οἰωνοπολῶ, οἰακίζω, οἰακονομῶ, οἰακοστροφῶ. ἔνιοι δὲ καὶ τὸ οἰδαίνω, καὶ οἰκουρῶ ἐσημειώσαντο.

Ὅταν δὴ τὸ ῥῆμα ἄρχεται ἀπὸ τῶν μεταβολικῶν φωνηέντων οἱ Ἀττικοὶ ποιοῦσιν ἴδιον παρα-

κείμενον ἐνεργητικὸν, καὶ παθητικὸν, καὶ μέσον, τὰ ἀρκτικὰ δύο γράμματα τοῦ ἐνεστῶτος προστιθέντες τῷ κοινῷ παρακειμένῳ καὶ τὴν τρίτην συλλαβὴν συστέλλοντες τοῦ τετρασυλλάβου, εἰ μακρὰ εἴη· οἷον ἀκούω ἤκουκα κοινῶς, καὶ ἀκήκοα ἀττικῶς· ἀλείφω ἤλειφα κοινῶς, καὶ ἀλήλιφα ἀττικῶς· ἐλεύθω ἤλευθα κοινῶς, καὶ ἐλήλυθα ἀττικῶς μέσος παρακείμενος. Ἐνέγκω ἤνεγκα κοινῶς, καὶ ἐνήνοχα ἀττικῶς· ὀμῶ ὤμωκα κοινῶς, καὶ ὀμώμοκα ἀττικῶς· ὀλέω ὤλεκα καὶ ὀλώλεκα, ὀρύσσω ὤρυχα καὶ ὀρώρυχα· ὄλλω ὦλα μέσος παρακείμενος, καὶ ἀττικῶς ὄλωλα. Ὁμοίως καὶ ἐν τοῖς παθητικοῖς, οἷον ἤλειμμαι ἀλήλιμμαι, ἤρεισμαι ἐρήρεμαι. Ἐν ἐνίοις δὲ μόνον προστιθέασιν ε, οἷον ὦσμαι ἔωσμαι, ὤνημαι ἐώνημαι, ὠνούμην ἐωνούμην, ὥρακα ἑώρακα, ὥρων ἑώρων, ἀνῶγα ἀνέωγα· τὸ δὲ ξυνέηκε καὶ ἔειπε ποιητικά. Εὕρηται δὲ καί τινα ὧν ἡ τρίτη συλλαβὴ οὐ συστέλλεται, οἷον ἀλάλημαι, ἐρήρεικα ἀπὸ τοῦ ἐρείδω, καὶ ὤρηκα ὀρώρηκα ἀπὸ τοῦ ὁρῶ.

Εἰ ἀπὸ συμφώνων ἄρχεται τὸ ῥῆμα, ὁ παρατατικὸς καὶ ἀόριστος πρῶτος καὶ δεύτερος προσ-

λαμβάνουσι ε, ὅπερ συλλαβικὴν αὔξησιν καλοῦμεν οἷον γράφω ἔγραφον ἔγραψα.

Ὅτε δὲ ὁ παρατατικὸς τούτων ἄρχεται ἀπὸ μακρᾶς φύσει ἢ θέσει, ἀπὸ τῆς αὐτῆς ἄρχεται ὁ παρακείμενος, οἷον ἠγόραζον ἠγόρακα, ἔφθειρον ἔφθαρκα, ἔσπειρον ἔσπαρκα. Ὅτε δὲ ἄρχεται ἀπὸ βραχείας ἢ κοινῆς ἀναδιπλασιάζεται ὁ παρακείμενος διὰ τοῦ συμφώνου τοῦ ἐνεστῶτος, οἷον ἔτυπτον τέτυφα, ἔλεγον λέλεχα, ἔπλυνον πέπλυκα· πλὴν τῶν ἀρχομένων ἀπὸ τοῦ γνω καὶ γρη, οἷον γνωρίζω ἐγνώρικα, γρηγορέω ἐγρηγόρηκα (διὰ γὰρ κακοφωνίαν οὐκ ἀναδιπλασιάζονται)· καὶ τῶν ἀρχομένων ἀπὸ ρ, οἷον ῥητορεύω ἐῤῥητόρευκα, (τὸ δὲ ῥερυπωμένα, καὶ ἄλλα, ποιητικά)· καὶ τῶν ἀρχομένων ἀπὸ διπλῶν ζ, ξ, ψ, οἷον ζάω ἔζηκα, ξέω ἔξεκα, ψάλλω ἔψαλκα. Τὰ δὲ ἀπὸ δασέων θ, φ, χ, ἀρχόμενα ἀναδιπλασιάζονται μὲν, τρέπονται δὲ τὰ δασέα εἰς ψιλά· ὧν τὸ θ εἰς τ τρέπεται, τὸ φ εἰς π, τὸ χ εἰς κ, οἷον θεωρέω τεθεώρηκα, φωνέω πεφώνηκα, χωνεύω κεχώνευκα.

Ὅτε δὲ ὁ ἐνεστὼς ἄρχεται ἀπὸ τοῦ λ, ἢ μ, οἱ Ἀττικοὶ ποιοῦσι τὸν ἴδιον παρακείμενον ἐκβολῇ τοῦ πρώτου λ καὶ μ, καὶ πλεονασμῷ τοῦ ι,

οἷον λήβω λήψω λέληφα κοινῶς, καὶ εἴληφα ἀττικῶς, λήγω λήξω λέληχα, καὶ εἴληχα, μείρομαι μέμαρμαι, καὶ εἵμαρμαι, ὅθεν εἱμαρμένη.

Ὅτε δὲ ὁ παρακείμενος ἄρχεται ἀπὸ συμφώνου, βραχεῖαν ἔχει τὴν ἄρχουσαν, ἢ κοινήν· σεσημείωνται τὸ πέπταμαι, πέπτωκα, κέκτημαι, μέμνημαι· εἰ γὰρ καὶ οὐκ ἔχουσιν ἄφωνον πρὸ ἀμεταβόλου, πλὴν ποιοῦσι κοινὴν συλλαβήν.

Ὁ ὑπερσυντέλικος δὲ λαμβάνει τὸ ε αὔξησιν, οἷον γέγραφα ἐγεγράφειν, τέτυφα ἐτετύφειν·

De augmento compositorum verborum.

Περὶ τῆς αὐξήσεως τῶν συνθέτων ῥημάτων. Τούτων οὕτως ἐχόντων, δεῖ εἰδέναι ὅτι ὅτε αἱ προθέσεις οὐδὲν πλέον τοῦ ῥήματος σημαίνουσιν ἐν τῇ συνθέσει, γίνεται ἡ συνήθης αὔξησις ἐν τῇ ἀρχῇ τοῦ ῥήματος πρὸ τῆς προθέσεως, οἷον ἐνέπω ἤνεπον, καθεύδω ἐκάθευδον, καθαίρω ἐκάθαιρον. Ὅτε δὲ πλέον αὐτοῦ σημαίνουσι, γίνεται ἡ αὔξησις μετὰ τὴν πρόθεσιν ἐν ἀρχῇ τοῦ ῥήματος, οἷον παρακούω παρήκουον, ἐπομνύω ἐπώμνυον, ἐπαινέω ἐπῄνουν, καταγράφω κατέγραφον, ἐπιστέλλω ἐπέστελλον: ἐν τούτοις γὰρ εἰσερχομένης τῆς αὐξήσεως, ἀποβάλλεται τὸ φωνῆεν τῆς προθέσεως. Τὰ

δὲ ἀρχόμενα ἀπὸ προθέσεων ἔθει ἀττικῷ ἔξωθεν ποιοῦσι τὴν αὔξησιν, οἷον ἀντιβολέω ἠντιβόλουν, ἀμφισβητέω ἠμφισβήτουν· τὸ δὲ ἐνοχλέω ἠνώχλουν, καὶ ἀνορθέω ἠνώρθουν, καὶ ἀνέχομαι ἠνειχόμην, καὶ παροινέω ἐπαρῴνουν πεπαρῴνηκα, καὶ διαιτέω δεδιῄτηκα διπλῆν τὴν αὔξησιν ποιοῦσιν. Ἔτι ἔνια τὰ ἀπὸ τοῦ δυς καὶ ευ ἀρχόμενα ἔσωθεν αὐξάνουσι, οἷον δυσαπιστέω δυσηπίστουν, εὐορκέω εὐώρκουν, εὐαγγελίζομαι εὐηγγελιζόμην.

Κωνστ. Λασκ. Γραμμ.

De quinque Zonis.


Περὶ τῶν πέντε ζωνῶν. Ἡ τῆς συμπάσης ἐπιφάνεια σφαιροειδὴς ὑπάρχουσα, διαιρεῖται εἰς ζώνας πέντε· ὧν δύο μὲν αἱ περὶ τοὺς πόλους, πορρώτατα δὲ κείμεναι τῆς τοῦ ἡλίου παρόδου, κατεψυγμέναι λέγονται, καὶ ἀοίκητοι διὰ τὸ ψύχος εἰσίν. Ἀφορίζονται δὲ ὑπὸ τῶν ἀρκτικῶν πρὸς τοὺς πόλους. Αἱ δὲ τούτων ἑξῆς, συμμέτρως μὲν κείμεναι πρὸς τὴν τοῦ ἡλίου πάροδον, εὔκρατοι καλοῦνται· ἀφορίζονται δ' αὗται ὑπὸ τῶν ἐν τῷ κόσμῳ ἀρκτικῶν καὶ τροπικῶν κύκλων, μεταξὺ κείμεναι αὐτῶν. Ἡ δὲ λοιπὴ, μέση τῶν προειρη-

μένων κειμένη δὲ ἐπ' αὐτὴν τὴν τοῦ ἡλίου πάροδον, διακεκαυμένη καλεῖται· διχοτομεῖται δ' αὐτὴ ὑπὸ τοῦ ἐν τῇ γῇ ἰσημερινοῦ κύκλου, ὃς κεῖται ὑπὸ τὸν ἐν τῷ κόσμῳ ἰσημερινὸν κύκλον. Τῶν δὲ εὐκράτων δύο ζωνῶν ἡ, ὑπὸ τῶν ἐν τῇ καθ' ἡμᾶς οἰκουμένῃ κατοικεῖσθαι συμβέβηκεν, ἐπὶ μὲν τὸ μῆκος οὖσα ὡς ἔγγιστα περὶ δέκα μυριάδας σταδίων, ἐπὶ δὲ τὸ πλάτος ὡς ἔγγιστα τὸ ἥμισυ.

Προκλ. Σφαῖρ.

De verbis usque ad præteritum imperfectum declinatis.

Περὶ τῶν ῥημάτων τῶν μέχρι παρατατικοῦ κλινομένων. Τὰ διὰ τοῦ ανω ῥήματα βαρύτονα, μέχρι τοῦ παρατατικοῦ κλίνονται, οἷον λαμβάνω ἐλάμβανον, μανθάνω ἐμάνθανον, λανθάνω ἐλάνθανον. Ἔτι τὰ διὰ τοῦ αθω, καὶ εθω, καὶ υθω, οἷον ἀμυνάθω ἠμύναθον, φλεγέθω ἐφλέγεθον, μινύθω ἐμίνυθον. Ἔτι τὰ εἰς βω, ἔχοντα πρὸ τοῦ β σύμφωνον, ἢ ε, οἷον ῥέμβω ἔρεμβον, σέβω ἔσεβον. Ἔτι τὰ εἰς σκω, οἷον ἀρέσκω ἤρεσκον, πιπράσκω ἐπίπρασκον, χωρὶς τοῦ θνήσκω θνήξω, καὶ ἀλύσκω ἀλύξω· τὸ δὲ διδάξω οὐκ ἀπὸ τοῦ



διδάσκω, ἀλλ' ἀπὸ τοῦ διδάγω. Ἔτι τὰ διὰ τοῦ ειν ω ὑπερδισύλλαβα, οἷον ἐρεείνω ἠρέεινον, φαείνω ἐφάεινον. Ἔτι τὰ διὰ τοῦ ει ω παράγωγα ἀπὸ ἐνεστῶτος, ἢ μέλλοντος, οἷον ἀπὸ τοῦ κίχω, κιχείω ἐκίχειον· τελέω, τελείω ἐτέλειον· ἀπὸ τοῦ βρώσω, βρωσείω ἐβρώσειον· πολεμήσω πολεμησείω· ὄψω ὀψείω. Ἔτι τὰ διὰ τοῦ υω ὑπερδισύλλαβα ποιοῦντα εἰς μι παράγωγα, καὶ ἔτι τὰ ἀπ' αὐτῶν παραγόμενα, οἷον πηγνύω πήγνυμι, ὀμνύω ὄμνυμι, ὀλύω ὄλυμι. Ἔτι πάντα τὰ τῆς πέμπτης συζυγίας κατὰ παλαιοὺς τὴν πρώτην συλλαβὴν διπλασιαζομένην ἔχοντα, οἷον μαρμαίρω ἐμάρμαιρον, μορμύρω ἐμόρμυρον. Ἔτι τὰ πρὸ τοῦ ω δύο σύμφωνα ἔχοντα κατ' ἐπιπλοκὴν, ὧν τὸ δεύτερον ἀμετάβολον εἴη, οἷον μέμβλω, ὄφλω, ἔγρω, δάκνω. Ἔτι τὰ εἰς ω καθαρὸν τῇ υι διφθόγγῳ παραληγόμενα, οἷον ὀπυίω, ἀγυίω. Ἔτι τὰ εἰς δ ω, πρὸ τοῦ δ ἔχοντα ν, οἷον κυλίνδω, σπένδω.

Κωνστ. Λασκ. Γραμμ.

Pyrenæi montes.

Τὰ ὄρη τὰ καλούμενα Πυρηναῖα καὶ κατὰ τὸ ὕψος καὶ κατὰ τὸ μέγεθος ὑπάρχει διάφορα τῶν

ἄλλων. Παρήκει γὰρ ἀπὸ τῆς κατὰ μεσημβρίαν θαλάττης σχεδὸν ἄχρι πρὸς τὸν ὑπὸ τὰς ἄρκτους ὠκεανὸν, διείργοντα τὴν Γαλατίαν καὶ τὴν Ἰβηρίαν, ἔτι δὲ τὴν Κελτιβηρίαν, παρεκτείνει σταδίους ὡς τρισχιλίους. Πολλῶν δὲ ὄντων ἐν αὐτοῖς δρυμῶν καὶ πυκνῶν τοῖς δένδρεσι, φασὶν ἐν τοῖς παλαιοῖς χρόνοις ὑπό τινων νομέων, ἀφέντων πῦρ, κατακαῆναι παντελῶς ἅπασαν τὴν ὀρεινὴν χώραν. Διὸ καὶ συχνὰς ἡμέρας συνεχῶς πυρὸς ἐπιφλέγοντος, καῆναι τὴν ἐπιφάνειαν τῆς γῆς. Καὶ τὰ μὲν ὄρη διὰ τὸ συμβεβηκὸς κληθῆναι Πυρηναῖα· τὴν δ' ἐπιφάνειαν τῆς κατακεκαυμένης χώρας ἀργύρῳ ῥυῆναι πολλῷ, καὶ χωνευθείσης τῆς φύσεως, ἐξ ἧς ὁ ἄργυρος κατασκευάζεται, ῥύακας γενέσθαι πολλοὺς ἀργύρου καθαροῦ. Τῆς δὲ τούτου χρείας ἀγνοουμένης παρὰ τοῖς ἐγχωρίοις, τοὺς Φοίνικας ἐμπορίαις χρωμένους, καὶ τὸ γεγονὸς μαθόντας, ἀγοράζειν τὸν ἄργυρον μικρᾶς τινος ἀντιδόσεως ἄλλων φορτίων. Διὸ δὴ τοὺς Φοίνικας μετακομίζοντας εἴς τε τὴν Ἑλλάδα καὶ τὴν Ἀσίαν, καὶ τἄλλα πάντα ἔθνη, μεγάλους περιποιήσασθαι πλούτους. Ἐπι τοσοῦτο δὲ τοὺς ἐμπόρους διατεῖναι τῆς φιλοκερδίας, ὥστε ἐπειδὰν, καταγόμων

ὄντων τῶν πλοίων, περιττεύῃ πολὺς ἄργυρος, ἐκκόπτειν τὸν ἐν ταῖς ἀγκύραις μόλιβδον, καὶ ἐκ τοῦ ἀργύρου τὴν ἐκ τοῦ μολίβδου χρείαν ἀλλάττεσθαι. Διόπερ ἐπὶ πολλοὺς χρόνους οἱ Φοίνικες διὰ τῆς τοιαύτης ἐμπορίας ἐπὶ πολὺν λαβόντες χρόνον αὔξησιν, ἀποικίας πολλὰς ἀπέστειλαν, τὰς μὲν εἰς Σικελίαν καὶ τὰς σύνεγγυς ταύτῃ νήσους, τὰς δὲ εἰς τὴν Λιβύην, καὶ Σαρδόνα, καὶ τὴν Ἰβηρίαν. Ὕστερον δὲ πολλοῖς χρόνοις οἱ μὲν Ἴβηρες, μαθόντες τὰ περὶ τὸν ἄργυρον ἰδιώματα, κατεσκεύασαν ἀξιόλογα μέταλλα· διόπερ ἄργυρον κάλλιστον καὶ σχεδόν τι πλεῖστον κατασκευάζοντες, μεγάλας ἐλάμβανον προσόδους. Διοδώρ. τοῦ Σικελιωτ. ε'.

ΧΕΙΡΑΓΩΓΙΑ

ΤΗΣ ʽΙΣΠΑΝΙΚΗΣ ΝΕΟΤΗΤΟΣ ʼΕΠΙ

ΤΗΝ ΓΛΩΣΣΑΝ ΤΩΝ ʽΕΛΛΗΝΩΝ.

LIBER SECUNDUS.

Elephantorum venatio.

Θηρῶσι δὲ ʼΙνδοὶ τὰ μὲν ἄλλα ἄγρια θηρία, κατάπερ καὶ ῞Ελληνες· ἡ δὲ τῶν ἐλεφάντων σφὶν θήρα οὐδέν τι ἄλλῃ ἔοικεν· ὅτι καὶ ταῦτα τὰ θηρία οὐδαμοῖσιν ἄλλοισι θηρίοις ἐπέοικεν. ʼΑλλὰ τόπον γὰρ ἐπιλεξάμενοι ἄπεδον, καὶ καυματώδεα, ἐν κύκλῳ τάφρον ὀρύσσουσιν, ὅσον μεγάλῳ στρατοπέδῳ ἐπαυλίσασθαι. Τῆς δὲ τάφρου τὸ εὖρος ἐς πέντε ὀργυίας ποιέονται, βάθος τε ἐς τέσσαρας. Τὸν δὲ χοῦν ὅντινα ἐκβάλλουσιν ἐκ τοῦ ὀρύγματος, ἐπὶ τὰ χείλεα ἑκάτερα τῆς τάφρου ἐπιφορήσαντες, ἀντὶ τείχεος διαχρέονται. Αὐτοὶ δὲ ἐπὶ τῷ χώματι τοῦ ἐπὶ τοῦ χείλεος τοῦ ἔξω τῆς τάφρου, σκηνὰς σφιν ὀρυκτὰς ποιέονται, καὶ διὰ τουτέων ὀπὰς ὑπολείπονται· δι᾽ ὧν φῶς τε αὐτοῖς συνεισφέ-

χεται, καὶ τὰ θηρία προσάγοντα καὶ ἐπελαύνοντα ἐς τὸ ἕρκος σκέπτονται. Ἐνταῦθα ἐντὸς τοῦ ἕρκεος καταστήσαντες τῶν τινας θηλέων τρεῖς ἢ τέσσαρας, ὅσαι μάλιστα τὸν θυμὸν χειροήθεες, μίαν εἴσοδον ἀπολιμπάνουσι κατὰ τὴν τάφρον, γεφυρώσαντες τὴν τάφρον· καὶ ταύτῃ χοῦν τε καὶ πόαν πολλὴν ἐπιφέρουσι, τοῦ μὴ ἀρίδηλον εἶναι τοῖσι θηρίοισι τὴν γέφυραν, μή τινα δόλον οἰσθῶσι.

Αὐτοὶ μὲν οὖν ἐκποδὼν σφᾶς ἔουσι κατὰ τῶν σκηνέων τῶν ὑπὸ τῇ τάφρῳ δεδυκότες. Οἱ δὲ ἄγριοι ἐλέφαντες ἡμέρης μὲν οὐ πελάζουσι τοῖσιν οἰκουμένοισι, νύκτωρ δὲ πλανῶνταί τε πάντῃ, καὶ ἀγεληδὸν νέμονται, τῷ μεγίστῳ καὶ γενναιοτάτῳ σφῶν ἑπόμενοι, κατάπερ αἱ βόες τοῖσι ταύροισιν· Ἐπεὰν ὦν τῷ ἕρκει πελάσωσι, τήν τε φωνὴν ἀκούοντες τῶν θηλέων, καὶ τῇ ὀδμῇ αἰσθόμενοι, δρόμῳ ἵενται ὡς ἐπὶ τὸν χῶρον τὸν πεφραγμένον· ἐκπεριελθόντες δὲ τῆς τάφρου τὰ χείλεα, εὖτ' ἂν τῇ γεφύρῃ ἐπιτύχωσι, κατὰ ταύτην εἰς τὸ ἕρκος ὠθέονται.

Οἱ δὲ ἄνθρωποι αἰσθόμενοι τὴν ἔσοδον τῶν ἐλεφάντων τῶν ἀγρίων, οἱ μὲν αὐτῶν τὴν γέφυραν ὀξέως ἀφεῖλον, οἱ δὲ ἐπὶ τὰς πέλας κώμας ἀπο-

δραμόντες, ἀγγέλλουσι τοὺς ἐλέφαντας ὅτι ἐν τῷ ἕρκει ἔχονται· οἱ δὲ ἀκούσαντες ἐπιβαίνουσι τῶν κρατίστων τε τὸν θυμὸν καὶ τῶν χειροηθεστάτων ἐλεφάντων· ἐπιβάντες δὲ, ἐλαύνουσιν ὡς ἐπὶ τὸ ἕρκος· ἐλάσαντες δὲ, οὐκ αὐτίκα μάχης ἅπτονται· ἀλλὰ ἐῶσι γὰρ λιμῷ τε ταλαιπωρηθῆναι τοὺς ἀγρίους ἐλέφαντας, καὶ ὑπὸ τῷ δίψει δουλωθῆναι. Εὖτ' ἂν δὲ σφίσι κακῶς ἔχειν δοκέωσι, τηνικαῦτα ἐπιστήσαντες αὖθις τὴν γέφυραν ἐλαύνουσί τε ὡς ἐς τὸ ἕρκος, καὶ τὰ μὲν πρῶτα μάχη ἵσταται κρατερὴ τοῖσιν ἡμέροισι τῶν ἐλεφάντων πρὸς τοὺς ἑαλωκότας· ἔπειτα κρατέονται μὲν κατὰ τὸ εἰκὸς οἱ ἄγριοι, ὑπό τε τῇ ἀθυμίῃ καὶ τῷ λιμῷ ταλαιπωρούμενοι. Οἱ δὲ ἀπὸ τῶν ἐλεφάντων καταβάντες, παρειμένοισιν ἤδη τοῖς τ' ἀγρίοισι τοὺς πόδας ἄκρους συνδέουσιν· ἔπειτα ἐγκελεύονται τοῖσιν ἡμέροισι πληγαῖς σφᾶς κολάζειν πολλαῖς, ἔστ' ἂν ἐκεῖνοι ταλαιπωρούμενοι ἐς γῆν πέσωσι· παραστάντες δὲ, βρόχους περιβάλλουσιν αὐτοῖσι κατὰ τοὺς αὐχένας, καὶ αὐτοὶ ἐπιβαίνουσι κειμένοισι. Τοῦ δὲ μὴ ἀποσείεσθαι τοὺς ἀμβάτας, μηδέ τι ἄλλο ἀτάσθαλον ἐργάζεσθαι, τὸν τράχηλον αὐτοῖσιν, ἐν κύκλῳ, μαχαιρίῳ ὀξεῖ ἐπιτέμνουσι, καὶ τὸν βρό-

χον κατὰ τὴν τομὴν περιδέουσιν, ὡς ἀτρέμα ἔχειν τὴν κεφαλήν τε καὶ τὸν τράχηλον ὑπὸ τοῦ ἕλκεος. Εἰ γὰρ περιστρέφοιντο ὑπὸ ἀτασθαλίης, τρίβεται αὐτοῖσι τὸ ἕλκος ὑπὸ τῷ κάλῳ· οὕτω μὲν ἀτρέμα ἴσχουσι, καὶ αὐτοὶ γνωσιμαχέοντες ἤδη, ἄγονται κατὰ τὸν δεσμὸν πρὸς τῶν ἡμέρων.

Ὅσοι δὲ νήπιοι αὐτῶν, ἢ διὰ κακότητα οὐκ ἄξιοι ἐκτῆσθαι, τούτους ἐῶσιν ἀπαλλάττεσθαι ἐς τὰ σφέτερα ἤθεα. Ἄγοντες δὲ εἰς τὰς κώμας τοὺς ἁλόντας, τοῦ τε χλωροῦ καλάμου καὶ τῆς πόας τὰ πρῶτα ἐμφαγεῖν ἔδοσαν· οἱ δὲ ὑπὸ ἀθυμίης οὐκ ἐθέλουσιν οὐδὲν σιτέεσθαι, τοὺς δὲ περιϊστάμενοι οἱ Ἰνδοὶ, ᾠδαῖσί τε καὶ τυμπάνοισι καὶ κυμβάλοισιν ἐν κύκλῳ κρούοντές τε καὶ ἐπάδοντες, κατευνάζουσι. Θυμόσοφον γὰρ, εἴπέρ τι ἄλλο θηρίον, ὁ ἐλέφας· καί τινες ἤδη αὐτῶν τοὺς ἀμβάτας σφῶν ἐν πολέμῳ ἀποθανόντας ἄραντες αὐτοὶ ἐξήνεγκαν ἐς ταφήν· οἱ δὲ καὶ ὑπερήσπισαν κειμένους· οἱ δὲ καὶ πεσόντων προεκινδύνευσαν· ὁ δέ τις πρὸς ὀργὴν ἀποκτείνας τὸν ἀμβάτην, ὑπὸ μετανοίης τε καὶ ἀθυμίης ἀπέθανεν. Εἶδον δὲ ἔγωγε καὶ κυμβαλίζοντα ἤδη ἐλέφαντα, καὶ ἄλλους ὀρχεομένους, κυμβάλοιν τῷ κυμβαλίζοντι πρὸς τοῖν σκελοῖν

τοῖν ἔμπροσθεν προσηρτημένοιν, καὶ πρὸς τῇ προβοσκίδι καλεομένῃ ἄλλο κύμβαλον· ὁ δὲ ἐν μέρει τῇ προβοσκίδι ἔκρουε τὸ κύμβαλον ἐν ῥυθμῷ πρὸς ἑκατέρον τοῖν σκελοῖν· οἱ δὲ ὀρχεόμενοι ἐν κύκλῳ τε ἐχόρευον, καὶ ἐπαίροντές τε καὶ ἐπικάμπτοντες τὰ ἔμπροσθεν σκέλεα ἐν τῷ μέρει, ἐν ῥυθμῷ καὶ οὗτοι ἔβαινον, καθότι ὁ κυμβαλίζων σφίσιν ὑφηγέετο. Βαίνεται δὲ ἐλέφας ἦρος ὥρῃ, κατάπερ βοῦς ἢ ἵππος, ἐπεὰν τῇσι θηλέεσιν αἱ παρὰ τοῖσι κροτάφοισιν ἀναπνοαὶ ἀνοιχθεῖσαι ἐκπνέωσι· κύει δὲ τοὺς ἐλαχίστους μὲν ἑκκαίδεκα μῆνας· τοὺς πλείστους δὲ, ὀκτωκαίδεκα· τίκτει δὲ ἓν, κατάπερ ἵππος· καὶ τοῦτο ἐκτρέφει τῷ γάλακτι ἐς ἔτος ὄγδοον. Ζῶσι δὲ ἐλεφάντων οἱ πλεῖστα ἔτεα ζῶντες, ἐς διηκόσια· πολλοὶ δὲ νόσῳ προτελευτῶσιν αὐτῶν· γήρᾳ δὲ ἐς τόσον ἔρχονται.

Καί ἐστιν αὐτοῖσι τῶν μὲν ὀφθαλμῶν ἴαμα τὸ βόειον γάλα ἐγχεόμενον· πρὸς δὲ τὰς ἄλλας νόσους, ὁ μέλας οἶνος πινόμενος· ἐπὶ δὲ τοῖσιν ἕλκεσι, τὰ ὕεια κρέα ὀπτώμενα καὶ καταπασσόμενα. Ταῦτα παρ' Ἰνδοῖσίν ἐστιν αὐτοῖσιν ἰάματα.

Ἀῤῥιαν. Ἰνδικά.

Iacob matris consilio benedictionem loco Esau accepit.

Ἐγένετο δὲ μετὰ τὸ γηράσαι τὸν Ἰσαὰκ, καὶ ἠμβλύνθησαν οἱ ὀφθαλμοὶ αὐτοῦ τοῦ ὁρᾷν· καὶ ἐκάλεσεν Ἡσαῦ τὸν υἱὸν αὐτοῦ τὸν πρεσβύτερον, καὶ εἶπεν αὐτῷ· υἱέ μου· καὶ εἶπεν· ἰδοὺ ἐγώ· καὶ εἶπεν· ἰδοὺ γεγήρακα, καὶ οὐ γινώσκω τὴν ἡμέραν τῆς τελευτῆς μου· νῦν οὖν λάβε τὸ σκεῦός σου, τήν τε φαρέτραν, καὶ τὸ τόξον· καὶ ἔξελθε εἰς τὸ πεδίον, καὶ θήρευσόν μοι θήραν· καὶ ποίησόν μοι ἐδέσματα, ὡς φιλῶ ἐγώ· καὶ ἔνεγκέ μοι, ἵνα φάγω· ὅπως εὐλογήσῃ σε ἡ ψυχή μου πρὶν ἀποθανεῖν με. Ῥεβέκκα δὲ ἤκουσε λαλοῦντος Ἰσαὰκ πρὸς Ἡσαῦ τὸν υἱὸν αὐτοῦ. Ἐπορεύθη δὲ Ἡσαῦ εἰς τὸ πεδίον θηρεῦσαι θήραν τῷ πατρὶ αὐτοῦ.

Ῥεβέκκα δὲ εἶπε πρὸς τὸν Ἰακὼβ τὸν υἱὸν αὐτῆς τὸν ἐλάσσω· ἴδε, ἤκουσα τοῦ πατρός σου λαλοῦντος πρὸς Ἡσαῦ τὸν ἀδελφόν σου, λέγοντος· «ἔνεγκόν μοι θήραν· καὶ ποίησόν μοι ἐδέσματα, ἵνα φαγὼν εὐλογήσω σε ἐναντίον κυρίου πρὸ τοῦ ἀποθανεῖν με.» Νῦν οὖν υἱέ μου ἄκουσόν μου, καθὰ ἐγώ σοι ἐντέλλομαι· καὶ πορευθεὶς εἰς τὰ

πρόβατα λάβε μοι ἐκεῖθεν δύο ἐρίφους ἁπαλοὺς, καὶ καλούς. Καὶ ποιήσω αὐτοὺς ἐδέσματα τῷ πατρί σου, ὡς φιλεῖ· καὶ εἰσοίσεις τῷ πατρί σου καὶ φάγεται, ὅπως εὐλογήσῃ σε ὁ πατήρ σου πρὸ τοῦ ἀποθανεῖν αὐτόν. Εἶπε δὲ Ἰακὼβ πρὸς Ῥεβέκκαν τὴν μητέρα αὐτοῦ. Ἔστιν Ἡσαῦ ὁ ἀδελφός μου ἀνὴρ δασὺς, ἐγὼ δὲ ἀνὴρ λεῖος· μή ποτε ψηλαφήσῃ με ὁ πατὴρ, καὶ ἔσομαι ἐναντίον αὐτοῦ ὡς καταφρονῶν· καὶ ἐπάξω ἐπ' ἐμαυτὸν κατάραν, καὶ οὐκ εὐλογίαν. Εἶπε δὲ αὐτῷ ἡ μήτηρ· ἐπ' ἐμὲ ἡ κατάρα σου τέκνον· μόνον ἐπάκουσόν μου τῆς φωνῆς· καὶ πορευθεὶς ἔνεγκέ μοι.

Πορευθεὶς δὲ ἔλαβε, καὶ ἤνεγκε τῇ μητρί· καὶ ἐποίησεν ἡ μήτηρ αὐτοῦ ἐδέσματα, καθὰ ἐφίλει ὁ πατὴρ αὐτοῦ. Καὶ λαβοῦσα Ῥεβέκκα τὴν στολὴν Ἡσαῦ τοῦ υἱοῦ αὐτῆς τοῦ πρεσβυτέρου τὴν καλὴν, ἣ ἦν παρ' αὐτῇ ἐν τῷ οἴκῳ, ἐνέδυσεν αὐτὴν Ἰακὼβ τὸν υἱὸν αὐτῆς τὸν νεώτερον· καὶ τὰ δέρματα τῶν ἐρίφων περιέθηκεν ἐπὶ τοὺς βραχίονας αὐτοῦ, καὶ ἐπὶ τὰ γυμνὰ τοῦ τραχήλου αὐτοῦ· καὶ ἔδωκε τὰ ἐδέσματα καὶ τοὺς ἄρτους οὓς ἐποίησεν εἰς τὰς χεῖρας Ἰακὼβ τοῦ υἱοῦ αὐτῆς. Καὶ εἰσήνεγκε τῷ πατρὶ αὐτοῦ· εἶπε δέ. Πάτερ· ὁ δὲ εἶπεν· ἰδοὺ ἐγώ.

Τίς εἶ σύ τέκνον; Καὶ εἶπεν Ἰακὼβ τῷ πατρί· ἐγὼ Ἡσαῦ ὁ πρωτότοκός σου πεποίηκα καθὰ ἐλάλησάς μοι· ἀναστὰς κάθισον καὶ φάγε ἀπὸ τῆς θήρας μου, ὅπως εὐλογήσῃ με ἡ ψυχή σου. Εἶπε δὲ Ἰσαὰκ τῷ υἱῷ αὐτοῦ· τί τοῦτο, ὃ ταχὺ εὗρες ὦ τέκνον; Ὁ δὲ εἶπεν· ὃ παρέδωκε κύριος ὁ Θεός σου ἐναντίον μου. Εἶπε δὲ Ἰσαὰκ τῷ Ἰακώβ· ἔγγισόν μοι, καὶ ψηλαφήσω σε τέκνον, εἰ σὺ εἶ ὁ υἱός μου Ἡσαῦ, ἢ οὔ. Ἤγγισε δὲ Ἰακὼβ πρὸς Ἰσαὰκ τὸν πατέρα αὐτοῦ· καὶ ἐψηλάφησεν αὐτὸν, καὶ εἶπεν· ἡ μὲν φωνὴ, φωνὴ Ἰακώβ· αἱ δὲ χεῖρες, χεῖρες Ἡσαῦ. Καὶ οὐκ ἐπέγνω αὐτόν· ἦσαν γὰρ αἱ χεῖρες αὐτοῦ, ὡς αἱ χεῖρες Ἡσαῦ τοῦ ἀδελφοῦ αὐτοῦ δασεῖαι.

Καὶ εὐλόγησεν αὐτὸν, καὶ εἶπε. Σὺ εἶ ὁ υἱός μου Ἡσαῦ; ὁ δὲ εἶπεν· ἐγώ. Καὶ εἶπε· προσάγαγέ μοι, καὶ φάγομαι ἀπὸ τῆς θήρας σου, τέκνον, ἵνα εὐλογήσῃ σε ἡ ψυχή μου. Καὶ προσήνεγκεν αὐτῷ, καὶ ἔφαγε· καὶ εἰσήνεγκεν αὐτῷ οἶνον, καὶ ἔπιε. Καὶ εἶπεν αὐτῷ Ἰσαὰκ ὁ πατὴρ αὐτοῦ· ἔγγισόν μοι, καὶ φίλησόν με τέκνον· καὶ ἐγγίσας ἐφίλησεν αὐτόν. Καὶ ὠσφράνθη τὴν ὀσμὴν τῶν ἱματίων αὐτοῦ, καὶ εὐλόγησεν αὐτόν· καὶ εἶπεν·

Ἰδοὺ ὀσμὴ τοῦ υἱοῦ μου, ὡς ὀσμὴ ἀγροῦ πλήρους, ὃν εὐλόγησε κύριος. Καὶ δῴη σοι ὁ Θεὸς ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ, καὶ ἀπὸ τῆς πιότητος τῆς γῆς, καὶ πλῆθος σίτου, καὶ οἴνου. Καὶ δουλευσάτωσάν σοι ἔθνη, καὶ προσκυνησάτωσάν σοι ἄρχοντες· καὶ γίνου κύριος τοῦ ἀδελφοῦ σου· καὶ προσκυνήσουσί σοι οἱ υἱοὶ τοῦ πατρός σου. Ὁ καταρώμενός σε, ἐπικατάρατος· ὁ δὲ εὐλογῶν σε, εὐλογημένος.

Καὶ ἐγένετο μετὰ τὸ παύσασθαι Ἰσαὰκ εὐλογοῦντα Ἰακὼβ τὸν υἱὸν αὐτοῦ· καὶ ἐγένετο, ὡς ἂν ἐξῆλθεν Ἰακὼβ ἀπὸ προσώπου Ἰσαὰκ τοῦ πατρὸς αὐτοῦ, καὶ Ἡσαῦ ὁ ἀδελφὸς αὐτοῦ ἦλθεν ἀπὸ τῆς θήρας. Καὶ ἐποίησε καὶ αὐτὸς ἐδέσματα, καὶ προσήνεγκε τῷ πατρὶ αὐτοῦ. Καὶ εἶπε τῷ πατρί· ἀναστήσω ὁ πατήρ μου· καὶ φαγέτω ἀπὸ τῆς θήρας τοῦ υἱοῦ αὐτοῦ, ὅπως εὐλογήσῃ με ἡ ψυχή σου.

Καὶ εἶπεν αὐτῷ Ἰσαὰκ ὁ πατὴρ αὐτοῦ. Τίς εἶ σύ; ὁ δὲ εἶπεν· ἐγώ εἰμι ὁ υἱός σου ὁ πρωτότοκος Ἡσαῦ. Ἐξέστη δὲ Ἰσαὰκ ἔκστασιν μεγάλην σφόδρα. . . . Καὶ εἶπε· τίς οὖν ὁ θηρεύσας μοι θήραν καὶ εἰσενέγκας μοι, καὶ ἔφαγον ἀπὸ πάντων πρὸ

τοῦ ἐλθεῖν σε; Καὶ εὐλόγησα αὐτὸν, καὶ εὐλογημένος ἔσται. Ἐγένετο δὲ ἡνίκα ἤκουσεν Ἡσαῦ τὰ ῥήματα τοῦ πατρὸς αὐτοῦ Ἰσαὰκ, ἀνεβόησε φωνὴν μεγάλην καὶ πικρὰν σφόδρα· καὶ εἶπεν. Εὐλόγησον δὴ κἀμὲ πάτερ. Εἶπε δὲ αὐτῷ· ἐλθὼν ὁ ἀδελφός σου μετὰ δόλου, ἔλαβε τὴν εὐλογίαν σου. Καὶ εἶπε· δικαίως ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰακώβ· ἐπτέρνικε γάρ με ἰδοὺ δεύτερον τοῦτο. Τά τε πρωτοτόκιά μου εἴληφε· καὶ νῦν ἔλαβε τὴν εὐλογίαν μου. Καὶ εἶπεν Ἡσαῦ τῷ πατρὶ αὐτοῦ· οὐχ ὑπελίπου μοι εὐλογίαν, πάτερ; Ἀποκριθεὶς δὲ Ἰσαὰκ εἶπε τῷ Ἡσαῦ· εἰ κύριον αὐτὸν πεποίηκά σου, καὶ πάντας τοὺς ἀδελφοὺς αὐτοῦ πεποίηκα αὐτοῦ οἰκέτας· σίτῳ καὶ οἴνῳ ἐστήριξα αὐτόν· σοὶ δὲ τί ποιήσω τέκνον; Εἶπε δὲ Ἡσαῦ πρὸς τὸν πατέρα αὐτοῦ· μὴ εὐλογία μία σοι ἔστι πάτερ; εὐλόγησον δὴ κἀμὲ πάτερ. Κατανυχθέντος δὲ Ἰσαὰκ, ἀνεβόησε φωνῇ Ἡσαῦ, καὶ ἔκλαυσεν.

Ἀποκριθεὶς δὲ Ἰσαὰκ ὁ πατὴρ αὐτοῦ, εἶπεν αὐτῷ· ἰδοὺ ἀπὸ τῆς πιότητος τῆς γῆς ἔσται ἡ κατοίκησίς σου, καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ ἄνωθεν· καὶ ἐπὶ τῇ μαχαίρᾳ σου ζήσῃ, καὶ τῷ ἀδελφῷ σου δουλεύσεις· ἔσται δὲ ἡνίκα ἐὰν καθέλῃς

καὶ ἐκλύσῃς τὸν ζυγὸν αὐτοῦ ἀπὸ τοῦ τραχήλου σου. Καὶ ἐνεκότει Ἡσαῦ τῷ Ἰακὼβ περὶ τῆς εὐλογίας, ἧς εὐλόγησεν αὐτὸν ὁ πατὴρ αὐτοῦ. Εἶπε δὲ Ἡσαὺ ἐν τῇ διανοίᾳ αὐτοῦ· ἐγγισάτωσαν αἱ ἡμέραι τοῦ πένθους τοῦ πατρός μου, ἵνα ἀποκτείνω Ἰακὼβ τὸν ἀδελφόν μου.

Ἀπηγγέλη δὲ Ῥεβέκκᾳ τὰ ῥήματα Ἡσαῦ τοῦ υἱοῦ αὐτῆς τοῦ πρεσβυτέρου· καὶ πέμψασα ἐκάλεσεν Ἰακὼβ τὸν υἱὸν αὐτῆς τὸν νεώτερον, καὶ εἶπεν αὐτῷ. Ἰδοὺ Ἡσαῦ ὁ ἀδελφός σου ἀπειλεῖ σοι τοῦ ἀποκτεῖναι σε. Νῦν οὖν, τέκνον, ἄκουσόν μου τῆς φωνῆς, καὶ ἀναστὰς ἀπόδραθι εἰς τὴν Μεσοποταμίαν πρὸς Λάβαν τὸν ἀδελφόν μου εἰς Χαῤῥάν· καὶ οἴκησον μετ' αὐτοῦ ἡμέρας τινάς, ἕως τοῦ ἀποστρέψαι τὸν θυμὸν, καὶ τὴν ὀργὴν τοῦ ἀδελφοῦ σου ἀπὸ σοῦ, καὶ ἐπιλάθηται ἃ πεποίηκας αὐτῷ· καὶ ἀποστείλασα μεταπέμψομαί σε ἐκεῖθεν, μή ποτε ἀποτεκνωθῶ ἀπὸ τῶν δύο ἡμῶν ἐν ἡμέρᾳ μιᾷ. Γενέσ. κεφ. κζ'.

Hierosolyma a Pompeio capta.

Ἀρέτας δὲ Ἀραβίων μὲν τῶν νῦν τοῖς Ῥωμαίοις δουλευόντων μέχρι τῆς Ἐρυθρᾶς θαλάσσης ἐβασίλευε· πλεῖστα δὲ τὴν Συρίαν πρότερον λυπήσας, καὶ διὰ τοῦτο μάχῃ πρὸς τῶν Ῥωμαίων ἀμυνόντων αὐτῇ νικηθεὶς, ὅμως καὶ τότε ἔτ' ἐπολέμει. Ἐπ' οὖν τοῦτον τούς τε πλησιοχώρους αὐτῷ ὁ Πομπήϊος ἐλάσας, ἀκονιτί τε αὐτοὺς προσηγάγετο, καὶ φρουρᾷ παρέδωκε. Κἀντεῦθεν ἐπὶ τὴν Συρίαν τὴν Παλαιστίνην, ὡς καὶ τὴν Φοινίκην κακώσαντας, ὥρμησεν· ἦρχον δὲ αὐτῶν Ὑρκανός τε καὶ Ἀριστόβουλος ἀδελφοὶ, καὶ ἐτύγχανον ὑπὲρ τῆς τοῦ σφετέρου θεοῦ, ὅστίς ποτε οὗτός ἐστιν, ἱερωσύνης (οὕτω γὰρ τὴν βασιλείαν σφῶν ὠνόμαζον) αὐτοί τε διαφερόμενοι, καὶ τὰς πόλεις στασιάζοντες. Ὁ οὖν Πομπήϊος Ὑρκανὸν μὲν οὐδεμίαν ἀξιόχρεων ἰσχὺν ἔχοντα, ἀμαχεὶ εὐθὺς προσέθετο· Ἀριστόβουλον δὲ ἐς χωρίον τὶ κατακλείσας ὁμολογῆσαί οἱ ἠνάγκασε. Καὶ ἐπειδὲ μήτε τὰ χρήματα, μήτε τὸ φρούριον παρεδίδου, ἔδησεν αὐτόν· κἀκ τούτου τοὺς μὲν ἄλλους ῥᾷον προσεποιήσατο. Τὰ δὲ Ἱεροσόλυμα πολιορκῶν πράγματα ἔσχε· τὴν μὲν γὰρ ἄλλην

πόλιν, ἐσδεξαμένων αὐτὸν τῶν τὰ τοῦ Ὑρκάνου φρονούντων, ἀπραγμόνως ἔλαβεν· αὐτὸ δὲ τὸ ἱερὸν προκατασχόντων τῶν ἑτέρων, οὐκ ἀπόνως εἷλεν.

Ἐπί γε γὰρ μετεώρου ἦν, καὶ περιβόλῳ ἰδίῳ ὠχύρωτο, καὶ εἴγε ἐν πάσαις ταῖς ἡμέραις ὁμοίως ἠμύνοντο, οὐκ ἂν αὐτὸ ἐχειρώσαντο. Νῦν δὲ τὰς τοῦ Κρόνου δὴ ὠνομασμένας ἡμέρας διαλείποντες καὶ οὐδὲν τὸ παράπαν ἐν αὐταῖς δρῶντες, παρέδωκαν τοῖς Ῥωμαίοις καιρὸν ἐν τῷ διακένῳ τούτῳ τὸ τεῖχος διασεῖσαι· μαθόντες γὰρ τὴν ἐμποίησιν αὐτῶν ταύτην, τὸν μὲν ἄλλον χρόνον οὐδὲν σπουδῇ ἔπραττον. Ταῖς δὲ δὴ ἡμέραις ἐκείναις ὁπότε ἐκ τῆς περιτροπῆς ἐπέλθοιεν, ἐντονώτατά οἱ προσέβαλον· καὶ οὕτως ἑάλωσάν τε ἐν τῇ τοῦ Κρόνου ἡμέρᾳ μηδ' ἀμυνόμενοι, καὶ πάντα τὰ χρήματα διηρπάσθη· ἥ τε βασιλεία τῷ Ὑρκάνῳ ἐδόθη, καὶ ὁ Ἀριστόβουλος ἀνηνέχθη. Ταῦτα μὲν τότε ἐν τῇ Παλαιστίνῃ ἐγένετο· οὕτω γὰρ τὸ σύμπαν ἔθνος ὅσον ἀπὸ τῆς Φοινίκης μέχρι τῆς Αἰγύπτου παρὰ τὴν θάλασσαν τὴν ἔσω παρήκει, ὑπὸ παλαιοῦ κέκληται. Ἔχουσι δὲ καὶ ἕτερον ὄνομα ἐπίκτητον· ἥ τε γὰρ χώρα Ἰουδαία, καὶ αὐτοὶ Ἰουδαῖοι ὠνομάδαται. Ἡ δὲ ἐπίκλησις αὕτη ἐκεί-

νοις μὲν οὐκ οἶδ' ὅθεν ἤρξατο γενέσθαι· φέρει δὲ καὶ ἐπὶ τοὺς ἄλλους ἀνθρώπους, ὅσοι τὰ νόμιμα αὐτῶν, καί περ ἀλλοεθνεῖς ὄντες, ζηλοῦσι, καί ἐστι καὶ παρὰ τοῖς Ῥωμαίοις τὸ γένος τοῦτο, κολουσθὲν μὲν πολλάκις, αὐξηθὲν δὲ ἐπὶ πλεῖστον, ὥστε καὶ ἐς παῤῥησίαν τῆς νομίσεως ἐκνικῆσαι.

Κεχωρίδαται δὲ ἀπὸ τῶν λοιπῶν ἀνθρώπων, ἔς τε τὰ ἄλλα τὰ περὶ τὴν δίαιταν πάνθ', ὡς εἰπεῖν, καὶ μάλισθ' ὅτι τῶν μὲν ἄλλων θεῶν οὐδένα τιμῶσιν· ἕνα δέ τινα ἰσχυρῶς σέβουσι· οὐδ' ἄγαλμα οὐδὲν ἐν αὐτοῖς ποτε τοῖς Ἱεροσολύμοις ἔσχον. Ἄῤῥητον δὲ δὴ καὶ ἀειδῆ αὐτὸν νομίζοντες εἶναι περισσότατα ἀνθρώπων θρησκεύουσι, καὶ αὐτῷ νεών τε μέγιστον καὶ περικαλλέστατον, πλὴν καθ' ὅσον ἀχανής τε καὶ ἀνώροφος ἦν, ἐξεποίησαν. Καὶ τὴν ἡμέραν τὴν τοῦ Κρόνου καλουμένην ἀνέθησαν, καὶ ἄλλα τὲ ἐν αὐτῇ ἰδιαίτατα οὐ ποιοῦσι, καὶ ἔργου οὐδενὸς σπουδαίου προσάπτονται. Καὶ τὰ μὲν κατ' ἐκεῖνον τίς τέ ἐστι, καὶ ὅθεν οὕτως ἐτιμήθη, ὅπως τὲ περὶ αὐτὸν ἐπτόηνται, πολλοῖς τε εἴρηται, καὶ οὐδὲν τῇδε τῇ ἱστορίᾳ προσήκει.

Διώνος Ἱστορ. Βιβλ. λζ'.

Cæsaris oratio ad milites, qui in Placentia seditionem excitaverant.

Ἐγὼ, ὦ ἄνδρες στρατιῶται, βούλομαι μὲν φιλεῖσθαι ὑφ' ὑμῶν, οὐ μέντοι καὶ συνεξαμαρτάνειν ἂν ὑμῖν διὰ τοῦθ' ἑλοίμην· ἀγαπῶ τε γὰρ ὑμᾶς, καὶ ἐθέλοιμ' ἂν ὡς πατὴρ παῖδας, καὶ σώζεσθαι καὶ εὐθηνεῖν καὶ εὐδοξεῖν. Μὴ γάρ τοι νομίσητε φιλοῦντος ἔργον εἶναι, τὸ συγχωρεῖν τισιν ἃ μὴ προσήκει πράττειν, ἐξ ὧν κινδύνους καὶ ἀδοξίας ἀνάγκη πᾶσα αὐτοῖς συμβαίνειν· ἀλλὰ τό τε τὰ ἀμείνω αὐτοὺς διδάσκειν, καὶ τὸ τῶν χειρόνων ἀπείργειν, καὶ νουθετοῦντα, καὶ σωφρονίζοντα. Γνώσεσθε δὲ ὅτι τἀληθῆ λέγω, ἂν μήτε πρὸς τὸ αὐτίκα ἡδὺ τὸ συμφέρον κρίνητε μᾶλλον, ἢ πρὸς τὸ ἀεὶ ὠφέλιμον· μήτε τὸ τὰς ἐπιθυμίας ἐκπιμπλάναι γενναῖον μᾶλλον, ἢ τὸ κρατεῖν αὐτῶν, νομίσητε εἶναι. Αἰσχρὸν μὲν γὰρ παραχρῆμά τι ἡσθέντας ὕστερον μεταγνῶναι· δεινὸν δὲ, τὸ τῶν πολεμίων κρατοῦντας, ἡδονῶν τινων ἡττᾶσθαι.

Πρὸς οὖν τί ταῦτα λέγω; ὅτι τὰ ἐπιτήδεια ἀφθόνως ἔχοντες (λέξω γὰρ μετὰ παῤῥησίας, μηδὲν ὑποστειλάμενος) τήν τε γὰρ μισθοφορὰν ἐντελῆ

καὶ κατὰ καιρὸν λαμβάνετε, καὶ τῆς τροφῆς ἀεὶ καὶ πανταχοῦ πολλῆς ἐμπίπλασθε, καὶ μήτε πόνον τινὰ ἄδοξον μήτε κίνδυνον ἀνωφελῆ ὑπομένοντες, καὶ προσέτι τῆς μὲν ἀνδραγαθίας πολλὰ καὶ μεγάλα γέρα καρπούμενοι, τῶν δ' ἁμαρτημάτων σμικρὸν οὐδὲ ἐπιτιμώμενοι, οὐκ ἀξιοῦτε τούτοις ἀρκεῖσθαι. Λέγω δὲ ταῦτα οὐ πρὸς πάντας ὑμᾶς, (οὐδὲ γὰρ τοιοῦτοι ἐστὲ) ἀλλὰ πρὸς ἐκείνους μόνους, οἵτινες τῇ ἑαυτῶν πλεονεξίᾳ καὶ τοὺς ἄλλους διαβάλλουσιν. Ὑμεῖς μὲν γὰρ οἱ πολλοὶ καὶ πάνυ ἀκριβῶς καὶ καλῶς τοῖς τε παραγγέλμασι τοῖς ἐμοῖς πείθεσθε, καὶ τοῖς ἤθεσι τοῖς πατρῴοις ἐμμένετε· καὶ διὰ τοῦτο καὶ χώραν τοσαύτην καὶ πλοῦτον καὶ δόξαν ἐκτήσασθε. Ὀλίγοι δέ τινες πολλὴν αἰσχύνην καὶ ἀδοξίαν ἅπασιν ἡμῖν προστρίβονται. Καίτοι ἔγωγε πρότερον σαφῶς ἐπιστάμενος τοιούτους αὐτοὺς ὄντας (οὐδὲν γάρ μοι τῶν ὑμετέρων ἀμελές ἐστι), οὐ προσεποιούμην εἰδέναι, νομίζων σφᾶς ἀμείνους ἐκ τοῦ λαθεῖν ἂν δοκῇ ἁμαρτόντας τινὰ, γενήσεσθαι, τοῦ μὴ πλεονάσαντάς ποτε καὶ ἐφ' οἷς συνεγνώσθησαν κολασθῆναι.

Ἐπεὶ μέντοι αὐτοί τε καὶ ὡς ἐξὸν σφίσι πάντα ὅσα βούλονται πράττειν, ὅτι μὴ κατὰ πρώτας

εὐθὺς ἐδικαιώθησαν, ὑπερθρασύνονται, καὶ τοὺς ἄλλους τοὺς μηδὲν πλημμελοῦντας προστασιάζειν ἐπιχειροῦσιν, ἀναγκαῖόν ἐστί μοι θεραπείαν τέ τινα καὶ ἐπιστροφὴν αὐτῶν ποιήσασθαι. Οὔ τε γὰρ ἄλλο τὶ σύστημα ἀνθρώπων συμμεῖναι καὶ σωθῆναι δύναται, ἂν μὴ τὸ κακουργοῦν σωφρονίζηται. Τὸ γάρτοι νοσῆσαν ἂν μὴ τὴν προσήκουσαν ἴασιν λάβῃ, συγκάμνει καὶ τὸ λοιπὸν πᾶν, ὥς περ ἐν τοῖς σώμασι ποιεῖ. Ἐν δὲ δὴ ταῖς στρατιαῖς οὐχ ἥκιστα, διότι αὐτοί τε ἰσχὺν ἔχοντες, τολμηρότεροι γίγνονται, καὶ τοὺς ἀγαθοὺς προςδιαφθείρουσιν, ἀθυμοτέρους ποιοῦντες, ὡς οὐδὲν ὄφελος ἐκ τοῦ δικαιοπραγεῖν ἕξοντας. Παρ' οἷς γὰρ ἂν τὸ θρασυνόμενον πλεονεκτῇ, παρὰ τούτοις ἀνάγκη τὸ ἐπιεικὲς ἐλαττοῦσθαι· καὶ ἐν οἷς ἀδικία ἀτιμώρητος ᾖ, καὶ τὸ σωφρονοῦν ἀγέραστον γίγνεται. Τί μὲν γὰρ ἂν ὑμεῖς ἀγαθὸν ποιεῖν φήσετε, εἰ μηδὲν οὗτοι κακὸν δρῶσι; πῶς δὲ ἂν εἰκότως τιμᾶσθαι ἐθελήσητε, ἂν μὴ τὴν δικαίαν οὗτοι τιμωρίαν ὑπόσχωσιν; ἢ ἀγνοεῖτε τοῦθ' ὅτι ἂν τὸ μὲν τῶν φόβων τῆς δίκης ἐλευθερωθῇ, τὸ δὲ τῆς ἐλπίδος τῶν ἄθλων στερηθῇ, ἀγαθὸν μὲν οὐδὲν, κακὰ δὲ μυρία ἀπεργάζεται; ὥστ' εἴπερ ἀρετὴν ὄντως ἀ-

σκεῖτε, μισήσατε μὲν τούτους ὡς πολεμίους· οὐ γάρ πω φύσει τινὶ τὸ φίλιον ἀπὸ τοῦ ἐχθροῦ διακέκριται, ἀλλὰ τοῖς τε τρόποις καὶ ταῖς πράξεσι διορίζεται. Ὧν ἀγαθῶν μὲν ὄντων, πᾶν καὶ τὸ ἀλλότριον οἰκειοῦται· πονηρῶν δὲ πᾶν καὶ τὸ συγγενὲς ἀλλοτριοῦται.

Ἀπολογίσασθε δὲ ὑπὲρ ὑμῶν αὐτῶν. Ἀνάγκη γάρ τις πυνθανόμενος τό τε πλῆθος ἡμῶν καὶ τὴν ὁρμὴν, ἐς πάντας ἡμᾶς καὶ τὰ τοῖς ὀλίγοις πλημμελοῦμενα ἀναφέρει. Καὶ οὕτω τῶν πλεονεξιῶν οὐ συμμετέχοντες αὐτοῖς, τῶν ἐγκλημάτων τὸ ἴσον φερόμεθα. Τίς γὰρ ἂν οὐκ ἀγανακτήσειεν ἀκούων ὄνομα μὲν ἡμᾶς Ῥωμαίων ἔχοντας, ἔργα δὲ Κελτῶν δρῶντας; Τίς δ' οὐκ ἂν ὁρῶν ὠδύρετο τὴν Ἰταλίαν ὁμοίως τῇ Βρεττανίᾳ πορθουμένην; Πῶς δ' οὐ δεινὸν τὰ μὲν τῶν Γαλατῶν τῶν καταπολεμηθέντων μηκέθ' ἡμᾶς λυπεῖν, τὰ δὲ ἐντὸς τῶν Ἄλπεων, ὥς τινας ἠπειρώτας, ἢ Καρχηδονίους, ἢ Κίμβρους πορθεῖν; Πῶς δ' οὐκ αἰσχρὸν σεμνύεσθαι μὲν ἡμᾶς, καὶ λέγειν ὅτι ἡμεῖς πρῶτοι Ῥωμαίων καὶ τὸν Ῥῆνον διέβημεν, καὶ τὸν ὠκεανὸν ἐπλεύσαμεν, τὴν δὲ οἰκείαν ἀπαθῆ κακῶν ἀπὸ τῶν πολεμίων οὖσαν διαρπάσαι, καὶ ἀντὶ μὲν ἐπαίνου

μέμψιν, ἀντὶ δὲ τιμῆς ἀτιμίαν, ἀντὶ δὲ κερδῶν ζημίας, ἀντὶ δὲ ἄθλων τιμωρίας λαβεῖν;

Μὴ γάρτοι νομίσητε μήθ' ὅτι στρατεύεσθε, κρείττους παρὰ τοῦτο τῶν οἴκοι πολιτῶν εἶναι· Ῥωμαῖοι γὰρ ἐστὲ ἀμφότεροι, καὶ ὁμοίως ὑμῖν κακουργεῖν. Οἵ τε γὰρ νόμοι κυριώτεροι ὑμῶν εἰσι· καὶ πάντως ποτὲ καὶ ταῦτα καταθήσεσθε. Μὴ μέντοι μηδὲ τῷ πλήθει θαρσεῖτε· πολὺ γὰρ πλείους ὑμῶν οἱ ἀδικούμενοι, ἄν γε καὶ συστραφῶσιν, εἰσί. Συστραφήσονται δὲ ἐὰν τοιαῦτα ποιῆτε. Μηδ' ὅτι τοὺς βαρβάρους ἐνικήσατε, καὶ τούτων καταφρονεῖτε, ὧν οὐδὲν κατὰ γένος οὔτε κατὰ παιδείαν, οὐκ ἐκ τῆς τροφῆς, οὐκ ἐκ τῶν ἐπιτηδευμάτων διαφέρετε· ἀλλ' ὥσπέρ που καὶ προσῆκον καὶ συμφέρον ἐστὶν ὑμῖν, μήτε βιάζεσθέ τινα αὐτῶν, μήτ' ἀδικεῖτε. Ἀλλὰ τὰ μὲν ἐπιτήδεια παρ' ἑκουσίων σφῶν λαμβάνετε, καὶ τὰ γέρα παρ' ἑκόντων προσδέχετε. Πρὸς γὰρ δὴ τοῖς εἰρημένοις, τοῖς τε ἄλλοις ὅσα ἄν τις μηκύνων περὶ τῶν τοιούτων διεξέλθοι, καὶ ἐκεῖνο δεῖ ὑμᾶς προσλογίζεσθαι ὅτι νῦν ἡμεῖς ἐνταῦθ' ἥκομεν, ἵνα τῇ τε πατρίδι ἀδικουμένῃ βοηθήσωμεν, καὶ τοὺς κακουργοῦντας αὐτὴν ἀμυνώμεθα. Ἐπεὶ εἴγε ἐν μηδενὶ δεινῷ ἦν,

οὔτ' ἂν ἐς τὴν Ἰταλίαν μετὰ τῶν ὅπλων ἤλθομεν (οὐ γὰρ ἔτ' ἐστὶν), οὔτ' ἂν τά τε τῶν Κελτῶν καὶ τὰ τῶν Βρεττανῶν ἀτέλεστα κατελίπομεν, δυνηθέντες ἂν καὶ ἐκεῖνα προςκατεργάσασθαι.

Οὐκοῦν πῶς μὲν οὐκ ἄτοπον, ἐπὶ τῇ τῶν ἀδικούντων τιμωρίᾳ παρόντας ἡμᾶς μηδὲ ἧττον πλεονεκτοῦντας ἐκείνων φανῆναι; Πῶς δ' οὐ σχέτλιον, πρὸς ἐπικουρίαν τῆς πατρίδος ἀφιγμένους, συμμάχων αὐτὴν ἑτέρων ἀναγκάσαι καθ' ἡμῶν δεηθῆναι; Καίτοι ἔγωγε τοσοῦτον περιεῖναι τοῖς δικαιώμασι τοῦ Πομπηΐου νομίζω, ὥστε καὶ ἐς δίκην πολλάκις αὐτὸν προκαλέσασθαι. Καὶ ἐπειδή γε μὴ ἠθέλησεν εἰρηνικῶς ὑπὸ τοῦ συνειδότος διακριθῆναι, πάντα μὲν τὸν δῆμον, πάντας δὲ τοὺς συμμάχους ἐλπίσαι διὰ τοῦτο προσθήσεσθαι. Ἀλλὰ νῦν ἄν γε καὶ τοιαῦτα ποιῶμεν, οὔτ' αὐτὸς ἐπιτήδειόν τι ἔξω προΐσχεσθαι, οὔτ' ἐκείνοις ἂν ἐπιεικὲς ἐγκαλέσαι. Δεῖ δὲ δὴ καὶ τοῦ δικαίου πᾶσαν ἡμᾶς πρόνοιαν ποιεῖσθαι. Μετὰ μὲν γὰρ τούτου, καὶ ἡ παρὰ τῶν ὅπλων ἰσχὺς εὔελπίς ἐστιν· ἄνευ δ' ἐκείνου βέβαιον οὐδὲν, κἂν παραυτίκα τις κατορθώσῃ τὶ, ἔχει. Καὶ ὅτι ταῦθ' οὕτω πέφυκε, καὶ ὑμῶν οἱ πλείους ἐπίστανται· πάντες γοῦν τὰ

προσήκοντα ἀπαράκλητοι πράττετε. Ὅθεν που καὶ ἐγὼ συνεκάλεσα ὑμᾶς, ἵνα καὶ μάρτυρας καὶ ἐπόπτας τῶν τε λεγομένων καὶ πραττομένων ποιήσωμαι. Ἀλλ' ὑμεῖς οὐ τοιοῦτοι ἐστὲ, καὶ διὰ ταῦτα καὶ ἐπαινεῖσθε. Ὀλίγοι δὲ δή τινες, ὁρᾶτε, ὅπως πρὸς τῷ πολλάκις κακουργηκέναι, καὶ μηδεμίαν δίκην δεδωκέναι, καὶ προσεπαπειλοῦσιν ἡμῖν.

Οὐ μέντοι καὶ ἐγὼ οὔτ' ἄλλως καλὸν εἶναι νομίζω ἄρχοντά τινα τῶν ἀρχομένων ἡττᾶσθαι, οὔτ' ἂν σωτήριόν τι γενέσθαι ποτὲ, εἰ τὸ ταχθὲν ὑπηρετεῖν τινι, κρατεῖν αὐτοῦ ἐπιχειρήσειε. Σκέψασθε δὲ ποῖος μὲν κόσμος οἰκίας γένοιτο, ἂν οἱ ἐν τῇ ἡλικίᾳ ὄντες τῶν πρεσβυτέρων καταφρονήσωσι· ποῖος δὲ τῶν διδασκαλείων, ἂν οἱ φοιτῶντες τῶν παιδευτῶν ἀμελήσωσι· τίς ὑγίεια νοσοῦσιν, ἂν μὴ πάντα τοῖς ἰατροῖς οἱ κάμνοντες πειθαρχῶσι· τίς δὲ ἀσφάλεια ναυτιλλομένοις, ἂν οἱ ναῦται τῶν κυβερνητῶν ἀνηκουστῶσι. Φύσει τὲ γὰρ ἀναγκαῖά τινα καὶ σωτήρια, τῷ μὲν ἄρχειν ἐν τοῖς ἀνθρώποις, τῷ δὲ ἄρχεσθαι, τέτακται. Καὶ ἀδύνατόν ἐστιν ἄνευ αὐτῶν καὶ ὁτιοῦν καὶ ἐφ' ὁποσονοῦν διαγενέσθαι. Προσήκει τὲ τῷ μὲν ἐπιστατοῦντί τινος ἐκφροντίζειν τὲ τὰ δέοντα, καὶ ἐπιτάττειν· τῷ δὲ

ὑποτεταγμένῳ πειθαρχεῖν τε ἀπροφασίστως, καὶ ἐκπονεῖν τὸ κελευόμενον. Ἐξ οὗ καὶ μάλιστα τό τε ἔμφρον τοῦ ἄφρονος, καὶ τὸ ἐπιστῆμον τοῦ ἀνεπιστήμονος ἐν παντὶ προτετίμηται. Οὕτω δὴ οὖν τούτων ἐχόντων, οὐκ ἄν ποτε οὔτε συγχωρήσαιμί τι τούτοις τοῖς θορυβήσασιν, ἀναγκασθεὶς, οὔτ' ἂν ἐπιτρέψαιμι, βιασθείς. Ἢ τί μὲν ἀπό τε τοῦ Αἰνείου καὶ ἀπὸ τοῦ Ἰούλου γέγονα; Τί δὲ ἐστρατήγησα; Τί ὑπάτευσα; Ἐπὶ τί δὲ ὑμᾶς τοὺς μὲν οἴκοθεν ἐξήγαγον, τοὺς δ' ὕστερον προσκατέλεξα; Ἐπὶ τί τοσοῦτον ἤδη χρόνον τὴν ἐξουσίαν τὴν ἀνθύπατον ἔχω λαβὼν, ἄν γε δουλεύσω τινὶ ὑμῶν, καὶ νικηθῶ τινος ὑμῶν ἐνταῦθα ἐν τῇ Ἰταλίᾳ, πρὸς τὴν Ῥώμην, δι' ὧν καὶ Γαλάτας ἐχειρώσασθε, καὶ Βρεττανῶν ἐκρατήσατε; Τί δείσας, καὶ τί φοβηθείς; Μή με τὶς ὑμῶν ἀποκτείνῃ; Ἀλλ' εἰ μὲν πάντες ταῦτ' ἐφρονεῖτε, ἑκὼν ἂν ἀποθανεῖν εἱλόμην, ἢ τό τε ἀξίωμα τῆς ἡγεμονείας καταλῦσαι, καὶ τὸ φρόνημα τὸ τῇ προστατείᾳ προσῆκον ἀπολέσαι.

Πολὺ γάρ που πλείω πολὺ κινδυνεύεται τοῦ ἕνα ἄνδρα ἀδίκως ἀποθανεῖν, ἂν ἐθισθῶσιν οἱ στρατιῶται τοῖς τε στρατηγοῖς σφῶν προστάττειν τινὰ,

καὶ τὰ δίκαια τὰ τῶν νόμων ἐν ταῖς χερσὶ ποιεῖσθαι. Ἀλλὰ τοῦτο μὲν οὐδὲ ἐπηπείληκέ τις αὐτῶν· καὶ γὰρ ἂν..., καὶ παραχρῆμα, εὖ οἶδα, ὅτι πρὸς ὑμῶν τῶν ἄλλων ἀπέσφακτο. Τὴν δὲ δὴ στρατιὰν ὡς κεκμηκότες ἐξίστανται, καὶ τὰ ὅπλα ὡς καὶ πεπονημένοι κατατίθενται· καὶ πάντως ἄν γε μὴ παρ' ἑκόντος μου τούτου τύχωσι, καὶ τὴν τάξιν ἐκλείψουσι, καὶ πρὸς τὸν Πομπήϊον μεταστήσονται, ἅπέρ που καὶ παραδηλοῦσί τινες. Καὶ τίς μὲν οὐκ ἂν ἐθελήσειε τοιούτων ἀνθρώπων στερηθῆναι; Τίς δὲ οὐκ ἂν εὔξαιτο τοιούτους ἐκείνῳ στρατιώτας ὑπάρξαι, οἵ τινες μήτε τοῖς διδομένοις ἀρκοῦνται, μήτε τοῖς προστασσομένοις πείθονται, ἀλλ' ἐν ἡλικίᾳ γῆρας, καὶ ἐν ἰσχύϊ ἀσθένειαν προβαλλόμενοι, δεσπόζειν τε τῶν ἀρχόντων, καὶ τυραννεῖν τῶν ἡγουμένων σφῶν ἀξιοῦσιν;

Ἐγὼ γὰρ μυριάκις ἂν καὶ πρὸς τὸν Πομπήϊον ὁπωσδή ποτε καταλλαγῆναι, καὶ ἄλλο ὁτιοῦν παθεῖν ἑλοίμην, ἤ τι ἀνάξιον τοῦ τε πατρίου φρονήματος καὶ τῆς ἐμαυτοῦ προαιρέσεως πρᾶξαι. Ἀγνοεῖτε ὅτι οὔτε δυναστείας οὔτε πλεονεξίας ἐπιθυμῶ; Οὐδέ μοι πρόκειται πάντως τὶ καὶ ἐκ παντὸς τρόπου καταπράξαι, ὥς τέ τι ἐπὶ τούτῳ

καὶ ψεύσασθαι, καὶ θωπεῦσαι καὶ κολακεῦσαί τινας; Παύσασθε μὲν δὴ διὰ ταῦτα τῆς στρατιᾶς, ὦ, τί ἂν ὑμᾶς ὀνομάσαιμι; Οὐ μέντοι ὡς καὶ αὐτοὶ καὶ βούλεσθε καὶ φατὲ, ἀλλ' ὡς τῷ κοινῷ καὶ ἐμοὶ συμφέρει. Τῶν Δίων. Ῥωμαικ. Ἱστ. μα'.

ORACULUM MORTUORUM CONSULTUM.
Menippus et Philonides.

MEN. Ὦ χαῖρε μέλαθρον πρόπυλά θ' ἑστίας ἐμῆς, ὡς ἄσμενός σέ γ' εἶδον ἐς φάος μολών. ΦΙΛ. Οὐ Μένιππος οὗτός ἐστιν ὁ κύων; οὐ μὲν οὖν ἄλλος, εἰ μὴ ἐγὼ παραβλέπω· Μένιππος ὅλος. Τί οὖν αὐτῷ βούλεται τὸ ἀλλόκοτον τοῦ σχήματος, πῖλος, καὶ λύρα, καὶ λεοντῆ; προσιτέον δὲ ὅμως αὐτῷ. Χαῖρε, ὦ Μένιππε· πόθεν ἡμῖν ἀφῖξαι; πολὺν γὰρ χρόνον οὐ πέφηνας ἐν τῇ πόλει.

1 MEN. Ἥκω νεκρῶν κευθμῶνα καὶ σκότου πύλας λιπὼν, ἵν' Ἅδης χωρὶς ᾤκισται θεῶν.

ΦΙΛ. Ἡράκλεις, ἐλελήθει Μένιππος ἡμᾶς ἀποθανὼν, κᾆτ' ἐξ ὑπαρχῆς ἀναβεβίωκεν; MEN. Οὐχ, ἀλλ' ἔτ' ἔμπνουν Ἀΐδης μ' ἐδέξατο. ΦΙΛ. Τίς δ' ἡ αἰτία σοι τῆς καινῆς καὶ παραδόξου ταύτης ἀποδημίας; MEN. Νεότης μ' ἐπῆρε καὶ θράσος

τοῦ νοῦ πλέον. ΦΙΛ. Παῦσαι, μακάριε, τραγῳδῶν καὶ λέγε οὑτωσί πως ἁπλῶς καταβὰς ἀπὸ τῶν ἰαμβείων, τίς ἡ στολή; τί σοι τῆς κάτω πορείας ἐδέησεν; ἄλλως γὰρ οὐχ ἡδεῖά τις οὐδὲ ἀσπάσιος ἡ ὁδός. ΜΕΝ. Ὦ φιλότης, χρειώ με κατήγαγεν εἰς Ἀΐδαο ψυχῇ χρησόμενον Θηβαίου Τειρεσίαο. ΦΙΛ. Οὗτος, ἀλλ' ἦ παραπαίεις; οὐ γὰρ ἂν οὕτως ἐμμέτρως ἐρραψῴδεις πρὸς ἄνδρας φίλους. ΜΕΝ. Μὴ θαυμάσῃς, ὦ ἑταῖρε· νεωστὶ γὰρ Εὐριπίδῃ καὶ Ὁμήρῳ συγγενόμενος οὐκ οἶδ' ὅπως ἀνεπλήσθην τῶν ἐπῶν καὶ αὐτόματά μοι τὰ μέτρα ἐπὶ τὸ στόμα ἔρχεται.

2 Ἀτὰρ εἰπέ μοι, πῶς τὰ ὑπὲρ γῆς ἔχει, καὶ τί ποιοῦσιν οἱ ἐν τῇ πόλει;

ΦΙΛ. Καινὸν οὐδέν, ἀλλ' οἷα καὶ πρὸ τοῦ ἁρπάζουσιν, ἐπιορκοῦσι, τοκογλυφοῦσιν, ὀβολοστατοῦσιν. ΜΕΝ. Ἄθλιοι καὶ κακοδαίμονες· οὐ γὰρ ἴσασιν οἷα ἔναγχος κεκύρωται παρὰ τοῖς κάτω καὶ οἷα κεχειροτόνηται τὰ ψηφίσματα κατὰ τῶν πλουσίων, ἃ μὰ τὸν Κέρβερον οὐδεμία μηχανὴ τὸ διαφυγεῖν αὐτούς. ΦΙΛ. Τί φής; δέδοκταί τι νεώτερον τοῖς κάτω περὶ τῶν ἐνθάδε; ΜΕΝ. Νὴ Δία, καὶ πολ-

λά γε· ἀλλ' οὐ θέμις ἐκφέρειν αὐτὰ πρὸς ἅπαντας οὐδὲ τὰ ἀπόῤῥητα ἐξαγορεύειν, μή καί τις ἡμᾶς γράψηται γραφὴν ἀσεβείας ἐπὶ τοῦ Ῥαδαμάνθυος.
ΦΙΛ. Μηδαμῶς, ὦ Μένιππε, πρὸς τοῦ Διὸς, μὴ φθονήσῃς τῶν λόγων φίλῳ ἀνδρί· πρὸς γὰρ εἰδότα σιωπᾷν ἐρεῖς, τά τ' ἄλλα καὶ πρὸς μεμυημένον.
MEN. Χαλεπὸν μὲν ἐπιτάττεις τοὐπίταγμα καὶ οὐ πάντῃ ἀσφαλές· πλὴν ἀλλὰ σοῦ γε ἕνεκα τολμητέον. Ἔδοξε δὴ τοὺς πλουσίους τούτους καὶ πολυχρηματους καὶ τὸ χρυσίον κατάκλειστον ὥσπερ τὴν Δανάην φυλάττοντας . . .

ΦΙΛ. Μὴ πρότερον εἴπῃς, ὦγαθὲ, τὰ δεδογμένα, πρὶν ἐκεῖνα διελθεῖν, ἃ μάλιστ' ἂν ἡδέως ἀκούσαιμί σου, τίς ἡ ἐπίνοιά σου τῆς καθόδου ἐγένετο, τίς δὲ ὁ τῆς πορείας ἡγεμὼν, εἶθ' ἑξῆς ἅ τε εἶδες ἅ τε ἤκουσας παρ' αὐτοῖς· εἰκὸς γὰρ δὴ φιλόκαλον ὄντα σε μηδὲν τῶν ἀξίων θέας ἢ ἀκοῆς παραλιπεῖν.

3 MEN. Ὑπουργητέον καὶ ταῦτά σοι· τί γὰρ ἂν καὶ πάθοι τις, ὁπότε φίλος ἀνὴρ βιάζοιτο; Καὶ δὴ πρῶτά σοι δίειμι τὰ περὶ τῆς γνώμης τῆς ἐμῆς καὶ ὅθεν ὡρμήθην πρὸς τὴν κατάβασιν· ἐγὼ γὰρ, ἄχρι μὲν ἐν παισὶν ἦν, ἀκούων Ὁμήρου καὶ

Ἡσιόδου πολέμους καὶ στάσεις διηγουμένων οὐ μόνον τῶν ἡμιθέων, ἀλλὰ καὶ αὐτῶν ἤδη τῶν θεῶν, ἔτι δὲ καὶ μοιχείας αὐτῶν καὶ βίας καὶ ἁρπαγὰς καὶ δίκας καὶ πατέρων ἐξελάσεις καὶ ἀδελφῶν γάμους, πάντα ταῦτα ἐνόμιζον εἶναι καλὰ καὶ οὐ παρέργως ἐκνώμην πρὸς αὐτά· ἐπεὶ δὲ εἰς ἄνδρας τελεῖν ἠρξάμην, πάλιν αὖ ἐνταῦθα ἤκουον τῶν νόμων τἀναντία τοῖς ποιηταῖς κελευόντων, μήτε μοιχεύειν μήτε στασιάζειν μήτε ἁρπάζειν. Ἐν μεγάλῃ οὖν καθειστήκειν ἀμφιβολίᾳ οὐκ εἰδὼς ὅ τι χρησαίμην ἐμαυτῷ· οὔτε γὰρ ἄν ποτε τοὺς θεοὺς μοιχεῦσαι καὶ στασιάσαι πρὸς ἀλλήλους ἡγούμην, εἰ μὴ ὡς περὶ καλῶν τούτων ἐγίγνωσκον, οὔτ' ἂν τοὺς νομοθέτας τἀναντία τούτοις παραινεῖν, εἰ μὴ λυσιτελεῖν ὑπελάμβανον.

4 Ἐπεὶ δὲ διηπόρουν, ἔδοξέ μοι ἐλθόντα παρὰ τοὺς καλουμένους τούτους φιλοσόφους ἐγχειρίσαι τε ἐμαυτὸν καὶ δεηθῆναι αὐτῶν χρῆσθαί μοι ὅ τι βούλοιντο καί τινα ὁδὸν ἁπλῆν καὶ βέβαιον ὑποδεῖξαι τοῦ βίου. Ταῦτα μὲν δὴ φρονῶν προσῄειν αὐτοῖς, ἐλελήθειν δ' ἐμαυτὸν ἐς αὐτὸ, φασὶ, τὸ πῦρ ἐκ τοῦ καπνοῦ βιαζόμενος· παρὰ γὰρ δὴ τούτοις μάλιστα εὕρισκον ἐπισκοπῶν τὴν ἄγνοιαν καὶ

τὴν ἀπορίαν πλείονα, ὥστε μοι τάχιστα χρυσοῦν ἀπέδειξαν οὗτοι τὸν τῶν ἰδιωτῶν βίον· ἀμέλει ὁ μὲν αὐτῶν παρήνει τὸ πᾶν ἥδεσθαι καὶ μόνον τοῦτο ἐκ παντὸς μετιέναι· τοῦτο γὰρ εἶναι τὸ εὔδαιμον· ὁ δέ τις ἔμπαλιν, πονεῖν τὰ πάντα καὶ μοχθεῖν καὶ τὸ σῶμα καταναγκάζειν ῥυπῶντα καὶ αὐχμῶντα καὶ πᾶσι δυσαρεστοῦντα καὶ λοιδορούμενον, συνεχὲς ἐπιῤῥαψῳδῶν τὰ πάνδημα ἐκεῖνα τοῦ Ἡσιόδου περὶ τῆς ἀρετῆς ἔπη καὶ τὸν ἱδρῶτα καὶ τὴν ἐπὶ τὸ ἄκρον ἀνάβασιν· ἄλλος καταφρονεῖν χρημάτων παρεκελεύετο καὶ ἀδιάφορον οἴεσθαι τὴν κτῆσιν αὐτῶν· ὁ δέ τις ἔμπαλιν ἀγαθὸν εἶναι καὶ τὸν πλοῦτον αὐτὸν ἀπεφαίνετο· περὶ μὲν γὰρ τοῦ κόσμου τί χρὴ καὶ λέγειν; ὅς γε ἰδέας καὶ ἀσώματα καὶ ἀτόμους καὶ κενὰ καὶ τοιοῦτόν τινα ὄχλον ὀνομάτων ὁσημέραι παρ' αὐτῶν ἀκούων ἐναυτίων. Καὶ τὸ πάντων ἀτοπώτατον, ὅτι περὶ τῶν ἐναντιωτάτων ἕκαστος αὐτῶν λέγων σφόδρα νικῶντας καὶ πιθανοὺς λόγους ἐπορίζετο, ὥστε μήτε τῷ θερμὸν τὸ αὐτὸ πρᾶγμα λέγοντι μήτε τῷ ψυχρὸν ἀντιλέγειν ἔχειν καὶ ταῦτα εἰδότα σαφῶς ὡς οὐκ ἄν ποτε θερμὸν εἴη τι καὶ ψυχρὸν ἐν ταὐτῷ χρόνῳ· ἀτεχνῶς οὖν ἔπασχον τοῖς νυστά-

ζουσι τούτοις ὅμοιον ἄρτι μὲν ἐπινεύων, ἄρτι δὲ ἀνανεύων ἔμπαλιν.

5 Πολλῷ δὲ τούτων ἐκεῖνο ἀλογώτερον· τοὺς γὰρ αὐτοὺς τούτους εὕρισκον ἐπιτηρῶν ἐναντιώτατα τοῖς αὑτῶν λόγοις ἐπιτηδεύοντας· τοὺς γοῦν καταφρονεῖν παραινοῦντας χρημάτων ἑώρων ἀπρὶξ ἐχομένους αὐτῶν καὶ περὶ τόκων διαφερομένους καὶ ἐπὶ μισθῷ παιδεύοντας καὶ πάντα ἕνεκα τούτων ὑπομένοντας, τούς τε τὴν δόξαν ἀποβαλλομένους αὐτῆς ταύτης χάριν τὰ πάντα καὶ πράττοντας καὶ λέγοντας, ἡδονῆς τε αὖ σχεδὸν ἅπαντας κατηγοροῦντας, ἰδίᾳ δὲ μόνῃ ταύτῃ προσηρτημένους.

6 Σφαλεὶς οὖν καὶ τῆσδε τῆς ἐλπίδος ἔτι μᾶλλον ἐδυσχέραινον ἠρέμα παραμυθούμενος ἐμαυτὸν, ὅτι μετὰ πολλῶν καὶ σοφῶν καὶ σφόδρα ἐπὶ συνέσει διαβεβοημένων ἀνόητός τε εἰμι καὶ τἀληθὲς ἔτι ἀγνοῶν περιέρχομαι· καί μοί ποτε διαγρυπνοῦντι τούτων ἕνεκα ἔδοξεν ἐς Βαβυλῶνα ἐλθόντα δεηθῆναί τινος τῶν μάγων τῶν Ζωροάστρου μαθητῶν καὶ διαδόχων, ἤκουον δ' αὐτοὺς ἐπῳδαῖς τε καὶ τελεταῖς τισιν ἀνοίγειν τε τοῦ Ἅδου τὰς πύλας καὶ κατάγειν ὃν ἂν βούλωνται ἀσφαλῶς καὶ ὀπίσω

αὖθις ἀναπέμπειν. Ἄριστον οὖν ἡγούμην εἶναι παρά τινος τούτων διαπραξάμενον τὴν κατάβασιν ἐλθόντα παρὰ Τειρεσίαν τὸν Βοιώτιον μαθεῖν παρ' αὐτοῦ ἅτε μάντεως καὶ σοφοῦ, τίς ἐστιν ὁ ἄριστος βίος καὶ ὃν ἄν τις ἕλοιτο εὖ φρονῶν· καὶ δὴ ἀναπηδήσας ὡς εἶχον τάχους ἔτεινον εὐθὺ Βαβυλῶνος. Ἐλθὼν δὲ συγγίγνομαί τινι τῶν Χαλδαίων σοφῷ ἀνδρὶ καὶ θεσπεσίῳ τὴν τέχνην, πολιῷ μὲν τὴν κόμην, γένειον δὲ μάλα σεμνὸν καθειμένῳ, τοὔνομα δὲ ἦν αὐτῷ Μιθροβαρζάνης· δεηθεὶς δὲ καὶ καθικετεύσας μόγις ἐπέτυχον παρ' αὐτοῦ, ἐφ' ὅτῳ βούλοιτο μισθῷ, καθηγήσασθαί μοι τῆς ὁδοῦ.

7 Παραλαβὼν δέ με ὁ ἀνὴρ πρῶτα μὲν ἡμέρας ἐννέα καὶ εἴκοσιν ἅμα τῇ σελήνῃ ἀρξάμενος ἔλουε κατάγων ἕωθεν ἐπὶ τὸν Εὐφράτην, πρὸς ἀνίσχοντα τὸν ἥλιον ῥῆσίν τινα μακρὰν ἐπίλεγων, ἧς οὐ σφόδρα κατήκουον· ὥσπερ γὰρ οἱ φαῦλοι τῶν ἐν τοῖς ἀγῶσι κηρύκων ἐπίτροχόν τι καὶ ἀσαφὲς ἐφθέγγετο· πλὴν ἐῴκει γέ τινας ἐπικαλεῖσθαι δαίμονας. Μετὰ δὲ οὖν τὴν ἐπῳδὴν τρὶς ἄν μου πρὸς τὸ πρόσωπον ἀποπτύσας, ἐπανῄειν πάλιν οὐδένα τῶν ἀπαντώντων προσβλέπων· καὶ σιτία μὲν ἡμῖν τὰ ἀκρόδρυα, ποτὸν δὲ γάλα καὶ μελίκρατον καὶ τὸ

τοῦ Χοάσπου ὕδωρ, εὐνὴ δὲ ὑπαίθριος ἐπὶ τῆς πόας. Ἐπεὶ δὲ ἅλις εἶχε τῆς προδιαιτήσεως, περὶ μέσας νύκτας ἐπὶ τὸν Τίγρητα ποταμὸν ἀγαγὼν ἐκάθηρέ τέ με καὶ ἀπέμαξε καὶ περιήγνισε δᾳδίοις καὶ σκίλλῃ καὶ ἄλλοις πλείοσιν ἅμα καὶ τὴν ἐπῳδὴν ἐκείνην ὑποτονθορύσας, εἶτα ὅλον με καταμαγεύσας καὶ περιελθὼν, ἵνα μὴ βλαπτοίμην ὑπὸ τῶν φασμάτων, ἐπανάγει ἐς τὴν οἰκίαν, ὡς εἶχον, ἀναποδίζοντα, καὶ τὸ λοιπὸν ἀμφὶ πλοῦν εἴχομεν.

8 Αὐτὸς μὲν οὖν μαγικήν τινα ἐνέδυ στολὴν τὰ πολλὰ ἐοικυῖαν τῇ Μηδικῇ, ἐμὲ δὲ τουτοισὶ φέρων ἐνεσκεύασε τῷ πίλῳ καὶ τῇ λεοντῇ καὶ προσέτι τῇ λύρᾳ, καὶ παρεκελεύσατο, ἤν τις ἔρηταί με τοὔνομα, Μένιππον μὲν μὴ λέγειν, Ἡρακλέα δὲ ἢ Ὀδυσσέα ἢ Ὀρφέα.

ΦΙΛ. Ὡς δὴ τί τοῦτο, ὦ Μένιππε; οὐ γὰρ συνίημι τὴν αἰτίαν οὔτε τοῦ σχήματος οὔτε τῶν ὀνομάτων.

ΜΕΝ. Καὶ μὴν πρόδηλον τοῦτό γε καὶ οὐ παντελῶς ἀπόῤῥητον· ἐπεὶ γὰρ οὗτοι πρὸ ἡμῶν ζῶντες ἐς Ἅδου κατεληλύθεσαν, ἡγεῖτο, εἴ με ἀπεικάσειεν αὐτοῖς, ῥᾳδίως ἂν τὴν τοῦ Αἰακοῦ φρουρὰν

διαλαθεῖν καὶ ἀκωλύτως παρελθεῖν ἅτε συνηθέστερον τραγικῶς μάλα παραπεμπόμενον ὑπὸ τοῦ σχήματος.

9 Ἤδη δ' οὖν ὑπέφαινεν ἡμέρα, καὶ κατελθόντες ἐπὶ τὸν ποταμὸν περὶ ἀναγωγὴν ἐγιγνόμεθα· παρεσκεύαστο δ' αὐτῷ καὶ σκάφος καὶ ἱερεῖα καὶ μελίκρατον καὶ ἄλλ' ὅσα πρὸς τὴν τελετὴν χρήσιμα. Ἐμβαλόμενοι οὖν ἅπαντα τὰ παρεσκευασμένα οὕτω δὴ καὶ αὐτοὶ βαίνομεν ἀχνύμενοι, θαλερὸν κατὰ δάκρυ χέοντες. Καὶ μέχρι μέν τινος ὑπεφερόμεθα ἐν τῷ ποταμῷ, εἶτα δ' ἐσεπλεύσαμεν ἐς τὸ ἕλος καὶ τὴν λίμνην, ἐς ἣν ὁ Εὐφράτης ἀφανίζεται· περαιωθέντες δὲ καὶ ταύτην ἀφικνούμεθα ἔς τι χωρίον ἔρημον καὶ ὑλῶδες καὶ ἀνήλιον, εἰς ὃ δὴ ἀποβάντες (ἡγεῖτο δὲ Μιθροβαρζάνης) βόθρον τε ὠρυξάμεθα καὶ τὰ μῆλα ἐσφάξαμεν καὶ τὸ αἷμα περὶ αὐτὸν ἐσπείσαμεν. Ὁ δὲ μάγος ἐν τοσούτῳ δᾷδα καομένην ἔχων οὐκέτ' ἠρεμαίᾳ τῇ φωνῇ, παμμέγεθες δὲ, ὡς οἷός τε ἦν, ἀνακραγὼν δαίμονάς τε ὁμοῦ πάντας ἐπεβοᾶτο καὶ Ποινὰς καὶ Ἐρινύας, και νυχίαν Ἑκάτην καὶ ἐπαινὴν Περσεφόνειαν, παραμιγνὺς ἅμα καὶ βαρβαρικά τινα καὶ ἄσημα ὀνόματα καὶ πολυσύλλαβα.

10 Εὐθὺς οὖν ἅπαντα ἐκεῖνα ἐσαλεύετο καὶ ὑπὸ τῆς ἐπῳδῆς τοὔδαφος ἀνεῤῥήγνυτο καὶ ἡ ὑλακὴ τοῦ Κερβέρου καὶ πόῤῥωθεν ἠκούετο καὶ τὸ πρᾶγμα ὑπερκατηφὲς ἦν καὶ σκυθρωπόν. Ἔδδεισεν δ' ὑπένερθεν ἄναξ ἐνέρων Ἀϊδωνεύς· κατεφαίνετο γὰρ ἤδη τὰ πλεῖστα, καὶ ἡ λίμνη καὶ ὁ Πυριφλεγέθων καὶ τοῦ Πλούτωνος τὰ βασίλεια. Κατελθόντες δ' ὅμως διὰ τοῦ χάσματος τὸν μὲν Ῥαδάμανθυν εὕρομεν τεθνεῶτα μικροῦ δεῖν ὑπὸ τοῦ δέους· ὁ δὲ Κέρβερος ὑλάκτησε μέν τι καὶ παρεκίνησε, ταχὺ δέ μου κρούσαντος τὴν λύραν παραχρῆμα ἐκηλήθη ὑπὸ τοῦ μέλους. Ἐπεὶ δὲ πρὸς τὴν λίμνην ἀφικόμεθα, μικροῦ μὲν οὐδ' ἐπεραιώθημεν· ἦν γὰρ πλήρες ἤδη τὸ πορθμεῖον καὶ οἰμωγῆς ἀνάπλεων, τραυματίαι δὲ πάντες ἐπέπλεον, ὁ μὲν τὸ σκέλος, ὁ δὲ τὴν κεφαλήν, ὁ δὲ ἄλλο τι συντετριμμένος, ἐμοὶ δοκεῖν, ἔκ τινος πολέμου παρόντες. Ὅμως δ' οὖν ὁ βέλτιστος Χάρων ὡς εἶδε τὴν λεοντῆν, οἰηθείς με τὸν Ἡρακλέα εἶναι, ἐσεδέξατό με καὶ διεπόρθμευσέ τε ἄσμενος καὶ ἀποβᾶσι διεσήμηνε τὴν ἀτραπόν.

11 Ἐπεὶ δὲ ἦμεν ἐν τῷ σκότῳ, προῄει μὲν ὁ Μιθροβαρζάνης, εἰπόμην δ' ἐγὼ κατόπιν ἐχόμενος

αὐτοῦ, ἕως πρὸς λειμῶνα μέγιστον ἀφικνούμεθα τῷ ἀσφοδέλῳ κατάφυτον, ἔνθα δὴ περιεπέτοντο ἡμᾶς τετριγυῖαι τῶν νεκρῶν αἱ σκιαί· κατ᾽ ὀλίγον δὲ προϊόντες παραγιγνόμεθα πρὸς τὸ τοῦ Μίνω δικαστήριον, ἐτύγχανε δὲ ὁ μὲν ἐπὶ θρόνου τινος ὑψηλοῦ καθήμενος, παρειστήκεσαν δὲ αὐτῷ Ποιναὶ καὶ ἀλάστορες καὶ Ἐρινύες· ἑτέρωθεν δὲ προσήγοντο πολλοί τινες ἐφεξῆς ἁλύσει μακρᾷ δεδεμένοι· ἐλέγοντο δὲ εἶναι μοιχοὶ καὶ πορνοβοσκοὶ καὶ τελῶναι καὶ κόλακες καὶ συκοφάνται καὶ ὁ τοιοῦτος ὅμιλος τῶν πάντα κυκώντων ἐν τῷ βίῳ· χωρὶς δὲ οἵ τε πλούσιοι καὶ τοκογλύφοι προσῄεσαν ὠχροὶ καὶ προγάστορες καὶ ποδαγροί, κλοιὸν ἕκαστος αὐτῶν καὶ σκύλακα διτάλαντον ἐπικείμενος. Ἐφεστῶτες οὖν ἡμεῖς ἑωρῶμέν τε τὰ γιγνόμενα καὶ ἠκούομεν τῶν ἀπολογουμένων· κατηγόρουν δὲ αὐτῶν καινοί τινες καὶ παράδοξοι ῥήτορες.

ΦΙΛ. Τίνες οὗτοι, πρὸς Διός; μὴ γὰρ ὀκνήσῃς καὶ τοῦτο εἰπεῖν.

ΜΕΝ. Οἶσθά που ταυτασί τὰς πρὸς τὸν ἥλιον ἀποτελουμένας σκιὰς ἀπὸ τῶν σωμάτων;

ΦΙΛ. Πάνυ μὲν οὖν.

ΜΕΝ. Αὗται τοίνυν, ἐπειδὰν ἀποθάνωμεν,

κατηγοροῦσί τε καὶ καταμαρτυροῦσι καὶ διελέγχουσι τὰ πεπραγμένα ἡμῖν παρὰ τὸν βίον, καὶ σφόδρα τινὲς ἀξιόπιστοι δοκοῦσιν ἅτε ἀεὶ ξυνοῦσαι καὶ μηδέποτε ἀφιστάμεναι τῶν σωμάτων.

12 Ὁ δ' οὖν Μίνως ἐπιμελῶς ἐξετάζων ἀπέπεμπεν ἕκαστον ἐς τὸν τῶν ἀσεβῶν χῶρον δίκην ὑφέξοντα κατ' ἀξίαν τῶν τετολμημένων, καὶ μάλιστα ἐκείνων ἥπτετο τῶν ἐπὶ πλούτοις τε καὶ ἀρχαῖς τετυφωμένων καὶ μονονουχὶ καὶ προσκυνεῖσθαι περιμενόντων, τήν τε ὀλιγοχρόνιον ἀλαζονείαν αὐτῶν καὶ τὴν ὑπεροψίαν μυσαττόμενος, καὶ ὅτι μὴ ἐμέμνηντο θνητοί τε ὄντες αὐτοὶ καὶ θνητῶν ἀγαθῶν τετυχηκότες· οἱ δὲ ἀποδυσάμενοι τὰ λαμπρὰ ἐκεῖνα πάντα, πλούτους λέγω καὶ γένη καὶ δυναστείας, γυμνοὶ κάτω νενευκότες παρειστήκεσαν ὥσπερ τινὰ ὄνειρον ἀναπεμπαζόμενοι τὴν παρ' ἡμῖν εὐδαιμονίαν· ὥστε ἔγωγε ταῦθ' ὁρῶν ὑπερέχαιρον καὶ εἴ τινα γνωρίσαιμι αὐτῶν, προσιὼν ἂν ἡσυχῇ πως ὑπεμίμνησκον οἷος ἦν παρὰ τὸν βίον καὶ ἡλίκον ἐφύσα τότε, ἡνίκα πολλοὶ μὲν ἕωθεν ἐπὶ τῶν πυλώνων παρειστήκεσαν τὴν πρόοδον αὐτοῦ περιμένοντες ὠθούμενοί τε καὶ ἀποκλειόμενοι πρός τῶν οἰκετῶν· ὁ δὲ μόγις ἄν ποτε ἀνατεί-

λας αὐτοῖς πορφυροῦς τις ἢ περίχρυσος ἢ διαποίκιλος εὐδαίμονας ᾤετο καὶ μακαρίους ἀποφαίνειν τοὺς προσειπόντας, εἰ τὸ στῆθος ἢ τὴν δεξιὰν προτείνων δοίη καταφιλεῖν. Ἐκεῖνοι μὲν οὖν ἠνιῶντο ἀκούοντες.

13 Τῷ δὲ Μίνωϊ μία τις καὶ πρὸς χάριν ἐδικάσθη· τὸν γάρ τοι Σικελιώτην Διονύσιον πολλὰ καὶ ἀνόσια ὑπό τε Δίωνος κατηγορηθέντα καὶ ὑπὸ τῆς σκιᾶς καταμαρτυρηθέντα παρελθὼν Ἀρίστιππος ὁ Κυρηναῖος (ἄγουσι δ' αὐτὸν ἐν τιμῇ καὶ δύναται μέγιστον ἐν τοῖς κάτω) μικροῦ δεῖν τῇ Χιμαίρᾳ παραδοθέντα παρέλυσε τῆς καταδίκης λέγων πολλοῖς αὐτὸν τῶν πεπαιδευμένων πρὸς ἀργύριον γενέσθαι δεξιόν.

14 Ἀποστάντες δὲ ὅμως τοῦ δικαστηρίου πρὸς τὸ κολαστήριον ἀφικνούμεθα. Ἔνθα δή, ὦ φίλε, πολλὰ καὶ ἐλεεινὰ ἦν ἀκοῦσαι καὶ ἰδεῖν· μαστίγων τε γὰρ ὁμοῦ ψόφος ἠκούετο καὶ οἰμωγὴ τῶν ἐπὶ τοῦ πυρὸς ὀπτωμένων καὶ στρέβλαι καὶ κύφωνες καὶ τροχοί, καὶ ἡ Χίμαιρα ἐσπάραττε καὶ ὁ Κέρβερος ἐδάρδαπτεν, ἐκολάζοντό τε ἅμα πάντες, βασιλεῖς, δοῦλοι, σατράπαι, πένητες, πλούσιοι, πτωχοί, καὶ μετέμελε πᾶσι τῶν τετολμημένων.

Ἐνίους δὲ αὐτῶν καὶ ἐγνωρίσαμεν ἰδόντες, ὁπόσοι ἦσαν τῶν ἔναγχος τετελευτηκότων· οἱ δὲ ἐνεκαλύπτοντο καὶ ἀπεστρέφοντο, εἰ δὲ καὶ προσβλέποιεν, μάλα δουλοπρεπές τι καὶ κολακευτικὸν, καὶ ταῦτα πῶς οἴει βαρεῖς ὄντες καὶ ὑπερόπται παρὰ τὸν βίον; Τοῖς μέντοι πένησιν ἡμιτέλεια τῶν κακῶν ἐδίδοτο, καὶ διαναπαυόμενοι πάλιν ἐκολάζοντο. Καὶ μὴν κἀκεῖνα εἶδον τὰ μυθώδη, τὸν Ἰξίονα καὶ τὸν Σίσυφον καὶ τὸν Φρύγα Τάνταλον χαλεπῶς ἔχοντα καὶ τὸν γηγενῆ Τιτυὸν, Ἡράκλεις ὅσος· ἔκειτο γοῦν τόπον ἐπέχων ἀγροῦ.

15 Διελθόντες δὲ καὶ τούτους ἐς τὸ πεδίον ἐσβάλλομεν τὸ Ἀχερούσιον, εὑρίσκομέν τε αὐτόθι τοὺς ἡμιθέους τε καὶ τὰς ἡρωΐνας καὶ τὸν ἄλλον ὅμιλον τῶν νεκρῶν κατὰ ἔθνη καὶ κατὰ φῦλα διαιτωμένους, τοὺς μὲν παλαιούς τινας καὶ εὐρωτιῶντας καὶ ὥς φησιν Ὅμηρος, ἀμενηνοὺς, τοὺς δ' ἔτι νεαλεῖς καὶ συνεστηκότας, καὶ μάλιστα τοὺς Αἰγυπτίους αὐτῶν διὰ τὸ πολυαρκὲς τῆς ταριχείας. Τὸ μέντοι διαγιγνώσκειν ἕκαστον οὐ πάνυ τι ἦν ῥᾴδιον· ἅπαντες γὰρ ἀτεχνῶς ἀλλήλοις γίγνονται ὅμοιοι τῶν ὀστῶν γεγυμνωμένων· πλὴν ἀλλὰ μόγις τε καὶ διὰ πολλοῦ ἀναθεωροῦντες αὐτοὺς ἐ-

γιγνώσκομεν. Ἔκειντο δ' ἐπ' ἀλλήλοις ἀμαυροὶ καὶ ἄσημοι καὶ οὐδὲν ἔτι τῶν παρ' ἡμῖν καλῶν φυλάττοντες. Ἀμέλει πολλῶν ἐν ταὐτῷ σκελετῶν κειμένων καὶ πάντων ὁμοίων φοβερόν τι καὶ διάκενον δεδορκότων καὶ γυμνοὺς τοὺς ὀδόντας προφαινόντων, ἠπόρουν πρὸς ἐμαυτὸν ᾧτινι διακρίναιμι τὸν Θερσίτην ἀπὸ τοῦ καλοῦ Νιρέως ἢ τὸν μεταίτην Ἶρον ἀπὸ τοῦ Φαιάκων βασιλέως ἢ Πυῤῥέαν τὸν μάγειρον ἀπὸ τοῦ Ἀγαμέμνονος· οὐδὲν γὰρ ἔτι τῶν παλαιῶν γνωρισμάτων αὐτοῖς παρέμενεν, ἀλλ' ὅμοια τὰ ὀστᾶ ἦν, ἄδηλα καὶ ἀνεπίγραφα καὶ ὑπ' οὐδενὸς ἔτι διακρίνεσθαι δυνάμενα.

16 Τοιγάρτοι ἐκεῖνα ὁρῶντι ἐδόκει μοι ὁ τῶν ἀνθρώπων βίος πομπῇ τινι μακρᾷ προσεοικέναι, χορηγεῖν δὲ καὶ διατάττειν ἕκαστα ἡ Τύχη διάφορα καὶ ποικίλα τοῖς πομπευταῖς τὰ σχήματα προσάπτουσα· τὸν μὲν γὰρ λαβοῦσα, εἰ τύχοι, βασιλικῶς διεσκεύασε τιάραν τε ἐπιθεῖσα καὶ δορυφόρους παραδοῦσα καὶ τὴν κεφαλὴν στέψασα τῷ διαδήματι, τῷ δὲ οἰκέτου σχῆμα περιέθηκε, τὸν δέ τινα καλὸν εἶναι ἐκόσμησε, τὸν δὲ ἄμορφον καὶ γελοῖον παρεσκεύασε· παντοδαπὴν γὰρ, οἶμαι, δεῖ γενέσθαι τὴν θέαν. Πολλάκις δὲ καὶ διὰ μέ-

σης τῆς πομπῆς μετέβαλε τὰ ἐνίων σχήματα οὐκ ἐῶσα ἐς τέλος διαπομπεῦσαι ὡς ἐτάχθησαν, ἀλλὰ μεταμφιέσασα τὸν μὲν Κροῖσον ἠνάγκασε τὴν οἰκέτου καὶ αἰχμαλώτου σκευὴν ἀναλαβεῖν, τὸν δὲ Μαιάνδριον τέως ἐν τοῖς οἰκέταις πομπεύοντα τὴν τοῦ Πολυκράτους τυραννίδα μετενέδυσε, καὶ μέχρι μέν τινος εἴασε χρῆσθαι τῷ σχήματι· ἐπειδὰν δ' ὁ τῆς πομπῆς καιρὸς παρέλθῃ, τηνικαῦτα ἕκαστος ἀποδοὺς τὴν σκευὴν καὶ ἀποδυσάμενος τὸ σχῆμα μετὰ τοῦ σώματος ὥσπερ ἦν πρὸ τοῦ γίγνεται, μηδὲν τοῦ πλησίον διαφέρων. Ἔνιοι δὲ ὑπ' ἀγνωμοσύνης, ἐπειδὰν ἀπαιτῇ τὸν κόσμον ἐπιστᾶσα ἡ Τύχη, ἄχθονταί τε καὶ ἀγανακτοῦσιν ὥσπερ οἰκείων τινῶν στερισκόμενοι καὶ οὐχ ἃ πρὸς ὀλίγον ἐχρήσαντο, ἀποδιδόντες. Οἶμαι δέ σε καὶ τῶν ἐπὶ τῆς σκηνῆς πολλάκις ἑορακέναι τοὺς τραγικοὺς ὑποκριτὰς τούτους πρὸς τὰς χρείας τῶν δραμάτων ἄρτι μὲν Κρέοντας, ἐνίοτε δὲ Πριάμους γιγνομένους ἢ Ἀγαμέμνονας, καὶ ὁ αὐτὸς, εἰ τύχοι, μικρὸν ἔμπροσθεν μάλα σεμνῶς τὸ τοῦ Κέκροπος ἢ Ἐρεχθέως σχῆμα μιμησάμενος μετ' ὀλίγον οἰκέτης προῆλθεν ὑπὸ τοῦ ποιητοῦ κεκελευσμένος· ἤδη δὲ πέρας ἔχοντος τοῦ δράματος ἀπο-

δυσάμενος ἕκαστος αὐτῶν τὴν χρυσόπαστον ἐκείνην ἐσθῆτα καὶ τὸ προσωπεῖον ἀποθέμενος καὶ καταβὰς ἀπὸ τῶν ἐμβατῶν πένης καὶ ταπεινὸς περίεισιν οὐκέτ' Ἀγαμέμνων ὁ Ἀτρέως οὐδὲ Κρέων ὁ Μενοικέως, ἀλλὰ Πῶλος Χαρικλέους Σουνιεὺς ὀνομαζόμενος ἢ Σάτυρος Θεογείτονος Μαραθώνιος. Τοιαῦτα καὶ τὰ τῶν ἀνθρώπων πράγματά ἐστιν, ὡς τότε μοι ὁρῶντι ἔδοξεν.

17 ΦΙΛ. Εἰπέ μοι, ὦ Μένιππε, οἱ δὲ τοὺς πολυτελεῖς τούτους καὶ ὑψηλοὺς τάφους ἔχοντες ὑπὲρ γῆς καὶ στήλας καὶ εἰκόνας καὶ ἐπιγράμματα οὐδὲν τιμιώτεροι παρ' αὐτοῖς εἰσι τῶν ἰδιωτῶν νεκρῶν;

ΜΕΝ. Ληρεῖς, ὦ οὗτος· εἰ γοῦν ἐθεάσω τὸν Μαύσωλον αὐτὸν (λέγω δὲ τὸν Κᾶρα, τὸν ἐκ τοῦ τάφου περιβόητον) εὖ οἶδα οὐκ ἂν ἐπαύσω γελῶν, οὕτω ταπεινὸς ἔρριπτο ἐν παραβύστῳ που λανθάνων ἐν τῷ λοιπῷ δήμῳ τῶν νεκρῶν, ἐμοὶ δοκεῖν, τοσοῦτον ἀπολαύων τοῦ μνήματος, παρ' ὅσον ἐβαρύνετο τηλικοῦτον ἄχθος ἐπικείμενος· ἐπειδὰν γὰρ ὦ ἑταῖρε, ὁ Αἰακὸς ἀπομετρήσῃ ἑκάστῳ τὸν τόπον (δίδωσι δὲ τὸ μέγιστον οὐ πλέον ποδὸς) ἀνάγκη ἀγαπῶντα κατακεῖσθαι πρὸς τὸ μέτρον

συνεσταλμένον. Πολλῷ δ' ἂν οἶμαι μᾶλλον ἐγέλασας, εἰ ἐθεάσω τοὺς παρ' ἡμῖν βασιλέας καὶ σατράπας πτωχεύοντας παρ' αὐτοῖς καὶ ἤτοι ταριχοπωλοῦντας ὑπ' ἀπορίας ἢ τὰ πρῶτα διδάσκοντας γράμματα καὶ ὑπὸ τοῦ τυχόντος ὑβριζομένους καὶ κατὰ κόῤῥης παιομένους ὥσπερ τῶν ἀνδραπόδων τὰ ἀτιμότατα. Φίλιππον γοῦν τὸν Μακεδόνα ἐγὼ θεασάμενος οὐδὲ κρατεῖν ἐμαυτοῦ δυνατὸς ἦν· ἐδείχθη δέ μοι ἐν γωνιδίῳ τινὶ μισθοῦ ἀκούμενος τὰ σαπρὰ τῶν ὑποδημάτων. Πολλοὺς δὲ καὶ ἄλλους ἦν ἰδεῖν ἐν ταῖς τριόδοις μεταιτοῦντας, Ξέρξας λέγω καὶ Δαρείους καὶ Πολυκράτας.

18 ΦΙΛ. Ἄτοπα διηγῇ τὰ περὶ τῶν βασιλέων καὶ μικροῦ δεῖν ἄπιστα. Τί δὲ ὁ Σωκράτης ἔπραττε καὶ Διογένης καὶ εἴ τις ἄλλος τῶν σοφῶν;

ΜΕΝ. Ὁ μὲν Σωκράτης κἀκεῖ περιέρχεται διελέγχων ἅπαντας· σύνεισι δ' αὐτῷ Παλαμήδης καὶ Ὀδυσσεὺς καὶ Νέστωρ καὶ εἴ τις ἄλλος λάλος νεκρός. Ἔτι μέντοι ἐπεφύσητο αὐτῷ καὶ διῳδήκει ἐκ τῆς φαρμακοποσίας τὰ σκέλη. Ὁ δὲ βέλτιστος Διογένης παροικεῖ μὲν Σαρδαναπάλλῳ τῷ

Ἀσσυρίῳ καὶ Μίδᾳ τῷ Φρυγὶ καὶ ἄλλοις τισὶ τῶν πολυτελῶν· ἀκούων δὲ οἰμωζόντων αὐτῶν καὶ τὴν παλαιὰν τύχην ἀναμετρουμένων γελᾷ τε καὶ τέρπεται καὶ τὰ πολλὰ ὕπτιος κατακείμενος ᾄδει μάλα τραχείᾳ καὶ ἀπηνεῖ τῇ φωνῇ τὰς οἰμωγὰς αὐτῶν ἐπικαλύπτων, ὥστε ἀνιᾶσθαι τοὺς ἄνδρας καὶ διασκέπτεσθαι μετοικεῖν οὐ φέροντας τὸν Διογένην.

19 ΦΙΛ. Ταυτὶ μὲν ἱκανῶς· τί δὲ τὸ ψήφισμα ἦν, ὅπερ ἐν ἀρχῇ ἔλεγες κεκυρῶσθαι κατὰ τῶν πλουσίων;

ΜΕΝ. Εὖ γε ὑπέμνησας· οὐ γὰρ οἶδ' ὅπως περὶ τούτου λέγειν προθέμενος πάμπολυ ἀπεπλανήθην τοῦ λόγου. Διατρίβοντος γάρ μου παρ' αὐτοῖς προὔθεσαν οἱ πρυτάνεις ἐκκλησίαν περὶ τῶν κοινῇ συμφερόντων· ἰδὼν οὖν πολλοὺς συνθέοντας ἀναμίξας ἐμαυτὸν τοῖς νεκροῖς εὐθὺς εἷς καὶ αὐτὸς ἦν τῶν ἐκκλησιαστῶν. Διῳκήθη μὲν οὖν καὶ ἄλλα, τελευταῖον δὲ τὸ περὶ τῶν πλουσίων· ἐπεὶ γὰρ αὐτῶν κατηγόρητο πολλὰ καὶ δεινά, βία καὶ ἀλαζονεία καὶ ὑπεροψία καὶ ἀδικία, τέλος ἀναστάς τις τῶν δημαγωγῶν ἀνέγνω ψήφισμα τοιοῦτον.

ΨΗΦΙΣΜΑ.

20 « Ἐπειδὴ πολλὰ καὶ παράνομα οἱ πλούσιοι δρῶσι παρὰ τὸν βίον ἁρπάζοντες καὶ βιαζόμενοι καὶ πάντα τρόπον τῶν πενήτων καταφρονοῦντες, δεδόχθη τῇ βουλῇ καὶ τῷ δήμῳ, ἐπειδὰν ἀποθάνωσι, τὰ μὲν σώματα αὐτῶν κολάζεσθαι, καθάπερ καὶ τὰ τῶν ἄλλων πονηρῶν, τὰς δὲ ψυχὰς ἀναπεμφθείσας ἄνω ἐς τὸν βίον καταδύεσθαι ἐς τοὺς ὄνους, ἄχρι ἂν ἐν τῷ τοιούτῳ διαγάγωσι μυριάδας ἐτῶν πέντε καὶ εἴκοσιν, ὄνοι ἐξ ὄνων γιγνόμενοι, καὶ ἀχθοφοροῦντες καὶ ὑπὸ τῶν πενήτων ἐλαυνόμενοι, τοὐντεῦθεν δὲ λοιπὸν ἐξεῖναι αὐτοῖς ἀποθανεῖν. Εἶπε τὴν γνώμην Κρανίων Σκελετίωνος Νεκυσιεὺς φυλῆς Ἀλιβαντίδος. »

Τούτου ἀναγνωσθέντος τοῦ ψηφίσματος ἐπεψήφισαν μὲν αἱ ἀρχαὶ, ἐπεχειροτόνησε δὲ τὸ πλῆθος καὶ ἐνεβριμήσατο ἡ Βριμὼ καὶ ὑλάκτησεν ὁ Κέρβερος· οὕτω γὰρ ἐντελῆ γίγνεται καὶ κύρια τὰ ἀνεγνωσμένα.

21 Ταῦτα μὲν δή σοι τὰ ἐν τῇ ἐκκλησίᾳ. Ἐγὼ δὲ, οὗπερ ἀφίγμην ἕνεκα, τῷ Τειρεσίᾳ προσ-

ελθὼν ἱκέτευον αὐτὸν τὰ πάντα διηγησάμενος εἰπεῖν πρός με, ποῖόν τινα ἡγεῖται τὸν ἄριστον βίον. Ὁ δὲ γελάσας (ἔστι δὲ τυφλόν τι γερόντιον καὶ ὠχρὸν καὶ λεπτόφωνον), ὦ τέκνον, φησὶ, τὴν μὲν αἰτίαν οἶδά σοι τῆς ἀπορίας ὅτι παρὰ τῶν σοφῶν ἐγένετο οὐ τὰ αὐτὰ γιγνωσκόντων ἑαυτοῖς· ἀτὰρ οὐ θέμις λέγειν πρὸς σέ· ἀπείρηται γὰρ ὑπὸ τοῦ Ῥαδαμάνθυος. Μηδαμῶς, ἔφην, ὦ πατέριον, ἀλλ' εἰπὲ καὶ μὴ περιίδῃς με σοῦ τυφλότερον περιιόντα ἐν τῷ βίῳ. Ὁ δὲ δή με ἀπαγαγὼν καὶ πολὺ τῶν ἄλλων ἀποσπάσας ἠρέμα προσκύψας πρὸς τὸ οὖς φησιν. Ὁ τῶν ἰδιωτῶν ἄριστος βίος καὶ σωφρονέστερος· ὡς τῆς ἀφροσύνης παυσάμενος τοῦ μετεωρολογεῖν καὶ τέλη καὶ ἀρχὰς ἐπισκοπεῖν καὶ καταπτύσας τῶν σοφῶν τούτων συλλογισμῶν καὶ τὰ τοιαῦτα λῆρον ἡγησάμενος τοῦτο μόνον ἐξ ἅπαντος θηράσῃ, ὅπως τὸ παρὸν εὖ θέμενος παραδράμῃς γελῶν τὰ πολλὰ καὶ περὶ μηδὲν ἐσπουδακώς. Ὡς εἰπὼν πάλιν ὥρτο κατ' ἀσφοδελὸν λειμῶνα.

22 Ἐγὼ δὲ (καὶ γὰρ ἤδη ὀψὲ ἦν) ἄγε δὴ, ὦ Μιθροβαρζάνη, φημὶ, τί διαμέλλομεν καὶ οὐκ ἄπιμεν αὖθις ἐς τὸν βίον; Ὁ δὲ πρὸς ταῦτα, θάρρει, φησὶν, ὦ Μένιππε· ταχεῖαν γάρ σοι καὶ

ἀπράγμονα ὑποδείξω ἀτραπόν. Καὶ δὴ ἀπαγαγών με πρός τι χωρίον τοῦ ἄλλου ζοφερώτερον δείξας τῇ χειρὶ πόῤῥωθεν ἀμαυρόν τι καὶ λεπτὸν ὥσπερ διὰ κλειθρίας ἐσρέον φῶς, ἐκεῖνο, ἔφη, ἐστὶ τὸ ἱερὸν τὸ Τροφωνίου, κἀκεῖθεν κατίασιν οἱ ἀπὸ Βοιωτίας· ταύτην οὖν ἄνιθι καὶ εὐθὺς ἔσῃ ἐπὶ τῆς Ἑλλάδος. Ἡσθεὶς δὲ τοῖς εἰρημένοις ἐγὼ καὶ τὸν μάγον ἀσπασάμενος χαλεπῶς μάλα διὰ τοῦ στομίου ἀνερπύσας οὐκ οἶδ' ὅπως ἐν Λεβαδείᾳ γίγνομαι. Λουκιαν. Νεκυομαντ.

Cyrus major imminente vitæ fine agit diis gratias, filiis atque amicis arcessitis hujusmodi orationem exorsus est.

Οὕτω δὲ τοῦ αἰῶνος προκεχωρηκότος, μάλα δὴ πρεσβύτης ὢν ὁ Κῦρος ἀφικνεῖται εἰς Πέρσας τὸ ἕβδομον ἐπὶ τῆς αὐτοῦ ἀρχῆς. Καὶ ὁ μὲν πατὴρ καὶ ἡ μήτηρ πάλαι δὴ ὥσπερ εἰκὸς ἐτετελευτήκεσαν αὐτῷ· ὁ δὲ Κῦρος ἔθυσε τὰ νομιζόμενα ἱερὰ καὶ τοῦ χοροῦ ἡγήσατο Πέρσαις κατὰ τὰ πάτρια καὶ τὰ δῶρα πᾶσι διέδωκεν ὥσπερ εἰώθει. Κοιμηθεὶς δ' ἐν τῷ βασιλείῳ ὄναρ εἶδε τοιόνδε. Ἔδοξεν αὐτῷ προσελθὼν κρείττων τις ἢ κατὰ ἄν-

θρωπον εἰπεῖν· «Συσκευάζου ὦ Κῦρε, ἤδη γὰρ εἰς θεοὺς ἄπει.» Τοῦτο δὲ ἰδὼν τὸ ὄναρ ἐξηγέρθη καὶ σχεδὸν ἐδόκει εἰδέναι ὅτι τοῦ βίου ἡ τελευτὴ παρείη.

Εὐθὺς οὖν λαβὼν ἱερεῖα ἔθυε Διί τε πατρῴῳ καὶ Ἡλίῳ καὶ τοῖς ἄλλοις θεοῖς ἐπὶ τῶν ἄκρων, ὡς Πέρσαι θύουσιν, ὧδε ἐπευχόμενος· «Ζεῦ πατρῷε καὶ Ἥλιε καὶ πάντες θεοὶ, δέχεσθε τάδε καὶ τελεστήρια πολλῶν καὶ καλῶν πράξεων καὶ χαριστήρια ὅτι ἐσημήνατέ μοι καὶ ἐν ἱεροῖς καὶ ἐν οὐρανίοις σημείοις καὶ ἐν οἰωνοῖς καὶ ἐν φήμαις ἅ τ' ἐχρῆν ποιεῖν καὶ ἃ οὐκ ἐχρῆν. Πολλὴ δ' ὑμῖν χάρις ὅτι κἀγὼ ἐγίγνωσκον τὴν ὑμετέραν ἐπιμέλειαν καὶ οὐδεπώποτε ἐπὶ ταῖς εὐτυχίαις ὑπὲρ ἄνθρωπον ἐφρόνησα. Αἰτοῦμαι δ' ὑμᾶς δοῦναι καὶ νῦν παισὶ μὲν καὶ γυναικὶ καὶ φίλοις καὶ πατρίδι εὐδαιμονίαν, ἐμοὶ δὲ οἷόνπερ αἰῶνα δεδώκατε τοιαύτην καὶ τελευτὴν δοῦναι.»

Ὁ μὲν δὴ τοιαῦτα ποιήσας καὶ οἴκαδε ἐλθὼν ἔδοξεν ἀναπαύσεσθαι καὶ κατεκλίθη. Ἐπεὶ δὲ ὥρα ἦν, οἱ τεταγμένοι προσιόντες λούσασθαι αὐτὸν ἐκέλευον. Ὁ δ' ἔλεγεν ὅτι ἡδέως ἀναπαύοιτο. Οἱ δ' αὖ τεταγμένοι, ἐπεὶ ὥρα ἦν, δεῖπνον παρετίθε-

σαν· τῷ δὲ ἡ ψυχὴ σῖτον μὲν οὐ προσίετο, διψῆν δ' ἐδόκει, καὶ ἔπιεν ἡδέως. Ὡς δὲ καὶ τῇ ὑστεραίᾳ συνέβαινεν αὐτῷ ταῦτα καὶ τῇ τρίτῃ, ἐκάλεσε τοὺς παῖδας· οἱ δὲ ἔτυχον συνηκολουθηκότες αὐτῷ καὶ ὄντες ἐν Πέρσαις· ἐκάλεσε δὲ καὶ τοὺς φίλους καὶ Περσῶν ἀρχάς· παρόντων δὲ πάντων ἤρχετο τοιοῦδε λόγου.

« Παῖδες ἐμοὶ καὶ πάντες οἱ παρόντες φίλοι, ἐμοὶ μὲν τοῦ βίου τὸ τέλος ἤδη πάρεστιν· ἐκ πολλῶν τοῦτο σαφῶς γιγνώσκω· ὑμᾶς δὲ χρὴ, ὅταν τελευτήσω, ὡς περὶ εὐδαίμονος ἐμοῦ καὶ λέγειν καὶ ποιεῖν πάντα. Ἐγὼ γὰρ παῖς τε ὢν τὰ ἐν παισὶ νομιζόμενα καλὰ δοκῶ κεκαρπῶσθαι, ἐπεί τε ἥβησα, τὰ ἐν νεανίσκοις, τέλειός τε ἀνὴρ γενόμενος τὰ ἐν ἀνδράσι· σὺν τῷ χρόνῳ τε προϊόντι ἀεὶ συναυξανομένην ἐπιγιγνώσκειν ἐδόκουν καὶ τὴν ἐμὴν δύναμιν, ὥστε καὶ τοὐμὸν γῆρας οὐδεπώποτε ᾐσθόμην τῆς ἐμῆς νεότητος ἀσθενέστερον γιγνόμενον, καὶ οὔτ' ἐπιχειρήσας οὔτ' ἐπιθυμήσας οἶδα ὅτου ἠτύχησα. Καὶ τοὺς μὲν φίλους ἐπεῖδον δι' ἐμοῦ εὐδαίμονας γενομένους, τοὺς δὲ πολεμίους ὑπ' ἐμοῦ δουλωθέντας· καὶ τὴν πατρίδα πρόσθεν ἰδιωτεύουσαν ἐν τῇ Ἀσίᾳ νῦν προτετιμημένην

καταλείπω· ὧν τ' ἐκτησάμην οὐδὲν οἶδα ὅτι οὐ διεσωσάμην. Καὶ τὸν μὲν παρελθόντα χρόνον ἔπραττον οὕτως ὥσπερ εὐχόμην, φόβος δέ μοι συμπαρομαρτῶν μή τι ἐν τῷ ἐπιόντι χρόνῳ ἢ ἴδοιμι ἢ ἀκούσαιμι ἢ πάθοιμι χαλεπὸν, οὐκ εἴα τελέως με μέγα φρονεῖν οὐδ' εὐφραίνεσθαι ἐκπεπταμένως. Νῦν δ' ἢν τελευτήσω, καταλείπω μὲν ὑμᾶς, ὦ παῖδες, ζῶντας οὕσπερ ἔδοσάν μοι οἱ θεοὶ γενέσθαι, καταλείπω δὲ πατρίδα καὶ φίλους εὐδαιμονοῦντας· ὥστε πῶς οὐκ ἂν ἐγὼ δικαίως μακαριζόμενος τὸν ἀεὶ χρόνον μνήμης τυγχάνοιμι; Δεῖ δὲ καὶ τὴν βασιλείαν με ἤδη σαφηνίσαντα καταλιπεῖν, ὡς ἂν μὴ ἀμφίλογος γενομένη πράγματα ὑμῖν παράσχῃ. Ἐγὼ φιλῶ μὲν ἀμφοτέρους ὑμᾶς ὁμοίως, ὦ παῖδες· τὸ δὲ προβουλεύειν καὶ τὸ ἡγεῖσθαι ἐφ' ὅ, τι ἂν καιρὸς δοκῇ εἶναι, τοῦτο προστάττω τῷ προτέρῳ γενομένῳ καὶ πλειόνων κατὰ τὸ εἰκὸς ἐμπείρῳ. »

« Ἐπαιδεύθην δὲ καὶ αὐτὸς οὕτως ὑπὸ τῆσδε τῆς ἐμῆς τε καὶ ὑμετέρας πατρίδος, τοῖς πρεσβυτέροις οὐ μόνον ἀδελφοῖς ἀλλὰ καὶ πολίταις καὶ ὁδῶν καὶ θάκων καὶ λόγων ὑπείκειν, καὶ ὑμᾶς δὲ ὦ παῖδες, οὕτως ἐξ ἀρχῆς ἐπαίδευον, τοὺς μὲν

γεραιτέρους προτιμᾷν, τῶν δὲ νεωτέρων προτετιμῆσθαι· ὡς οὖν παλαιὰ καὶ εἰθισμένα καὶ ἔννομα λέγοντος ἐμοῦ οὕτως ἀποδέχεσθε. Καὶ σὺ μὲν, ὦ Καμβύση, τὴν βασιλείαν ἔχε, θεῶν τε διδόντων σοὶ καὶ ἐμοῦ ὅσον ἐν ἐμοί· σοὶ δὲ, ὦ Ταναοξάρη, σατράπην εἶναι δίδωμι Μήδων τε καὶ Ἀρμενίων καὶ τρίτων Καδουσίων· ταῦτα δέ σοι διδοὺς νομίζω ἀρχὴν μὲν μείζω καὶ τοὔνομα τῆς βασιλείας τῷ πρεσβυτέρῳ καταλιπεῖν, εὐδαιμονίαν δὲ σοὶ ἀλυποτέραν. Ὁποίας μὲν γὰρ ἀνθρωπίνης εὐφροσύνης ἐπιδεὴς ἔσει οὐχ ὁρῶ, ἀλλὰ πάντα σοι τὰ δοκοῦντα ἀνθρώπους εὐφραίνειν παρέσται. Τὸ δὲ δυςκαταπρακτοτέρων τε ἐρᾷν καὶ τὸ πολλὰ μεριμνᾷν καὶ τὸ μὴ δύνασθαι ἡσυχίαν ἔχειν κεντριζόμενον ὑπὸ τῆς πρὸς τἀμὰ ἔργα φιλονεικίας καὶ τὸ ἐπιβουλεύειν καὶ τὸ ἐπιβουλεύεσθαι, ταῦτα τῷ βασιλεύοντι ἀνάγκη σοῦ μᾶλλον συμπαρομαρτεῖν, ἃ, σάφ' ἴσθι, τῷ εὐφραίνεσθαι πολλὰς ἀσχολίας παρέχει. Οἶσθα μὲν οὖν καὶ σὺ, ὦ Καμβύση, ὅτι οὐ τόδε τὸ χρυσοῦν σκῆπτρον τὸ τὴν βασιλείαν διασῶζόν ἐστιν, ἀλλ' οἱ πιστοὶ φίλοι σκῆπτρον βασιλεῦσιν ἀληθέστατον καὶ ἀσφαλέστατον. Πιστοὺς δὲ μὴ νόμιζε φύσει φύεσθαι ἀνθρώπους· πᾶσι γὰρ

ἂν οἱ αὐτοὶ πιστοὶ φαίνοιντο, ὥσπερ καὶ τἄλλα τὰ πεφυκότα πᾶσι τὰ αὐτὰ φαίνεται· ἀλλὰ τοὺς πιστοὺς τίθεσθαι δεῖ ἕκαστον ἑαυτῷ· ἡ δὲ κτῆσις αὐτῶν ἔστιν οὐδαμῶς σὺν τῇ βίᾳ, ἀλλὰ μᾶλλον σὺν τῇ εὐεργεσίᾳ. Εἰ οὖν καὶ ἄλλους τινὰς πειράσῃ συμφύλακας τῆς βασιλείας ποιεῖσθαι, μηδαμόθεν πρότερον ἄρχου ἢ ἀπὸ τοῦ ὁμόθεν γενομένου. Καὶ πολῖταί τοι ἄνθρωποι ἀλλοδαπῶν οἰκειότεροι καὶ σύσσιτοι ἀποσκήνων· οἱ δὲ ἀπὸ τοῦ αὐτοῦ σπέρματος φύντες καὶ ὑπὸ τῆς αὐτῆς μητρὸς τραφέντες καὶ ἐν τῇ αὐτῇ οἰκίᾳ αὐξηθέντες καὶ ὑπὸ τῶν αὐτῶν γονέων ἀγαπώμενοι καὶ τὴν αὐτὴν μητέρα καὶ τὸν αὐτὸν πατέρα προσαγορεύοντες, πῶς οὐ πάντων οὗτοι οἰκειότατοι; Μὴ οὖν ἃ οἱ θεοὶ ὑφήγηνται ἀγαθὰ εἰς οἰκειότητα ἀδελφοῖς μάταιά ποτε ποιήσητε, ἀλλ' ἐπὶ ταῦτα εὐθὺς οἰκοδομεῖτε ἄλλα φιλικὰ ἔργα· καὶ οὕτως ἀεὶ ἀνυπέρβλητος (ἀλλήλοις) ἔσται ἡ ὑμετέρα φιλία. Ἑαυτοῦ τοι κήδεται ὁ προνοῶν ἀδελφοῦ· τίνι γὰρ ἄλλῳ ἀδελφὸς μέγας ὢν οὕτω καλὸν ὡς ἀδελφῷ; τίς δ' ἄλλος τιμήσεται δι' ἄνδρα μέγα δυνάμενον οὕτως ὡς ἀδελφός; τίνα δὲ φοβήσεταί τις ἀδικεῖν ἀδελφοῦ μεγάλου ὄντος οὕτως ὡς τὸν ἀδελφόν; »

« Μήτε οὖν θᾶττον μηδεὶς σοῦ τούτῳ ὑπακουέτω μήτε προθυμότερον παρέστω, οὐδενὶ γὰρ οἰκειότερα τὰ τούτου οὔτε ἀγαθὰ οὔτε δεινὰ ἢ σοί. Ἐννόει δὲ καὶ τάδε· τίνι χαρισάμενος ἐλπίσαις ἂν μειζόνων τυχεῖν ἢ τούτῳ; τίνι δ' ἂν βοηθήσας ἰσχυρότερον σύμμαχον ἀντιλάβοις; τίνα δ' αἴσχιον μὴ φιλεῖν ἢ τὸν ἀδελφόν; τίνα δὲ ἁπάντων κάλλιον προτιμᾷν ἢ τὸν ἀδελφόν; μόνου τοι, ὦ **Καμβύση**, πρωτεύοντος ἀδελφοῦ παρ' ἀδελφῷ οὐδὲ φθόνος παρὰ τῶν ἄλλων ἐφικνεῖται. Ἀλλὰ πρὸς θεῶν πατρῴων, ὦ παῖδες, τιμᾶτε ἀλλήλους, εἴ τι καὶ τοῦ ἐμοὶ χαρίζεσθαι μέλει ὑμῖν· οὐ γὰρ δήπου τοῦτό γε σαφῶς δοκεῖτε εἰδέναι ὡς οὐδέν εἰμι ἐγὼ ἔτι, ἐπειδὰν τοῦ ἀνθρωπίνου βίου τελευτήσω· οὐδὲ γὰρ νῦν τοι τήν γ' ἐμὴν ψυχὴν ἑωρᾶτε, ἀλλ' οἷς διεπράττετο τούτοις αὐτὴν ὡς οὖσαν κατεφωρᾶτε.»

« Τὰς δὲ τῶν ἄδικα παθόντων ψυχὰς οὔπω κατενοήσατε οἵους μὲν φόβους τοῖς μιαιφόνοις ἐμβάλλουσιν, οἵους δὲ παλαμναίους τοῖς ἀνοσίοις ἐπιπέμπουσι; τοῖς δὲ φθιμένοις τὰς τιμὰς διαμένειν ἔτι ἂν δοκεῖτε, εἰ μηδενὸς αὐτῶν αἱ ψυχαὶ κύριαι ἦσαν; Οὔτοι ἔγωγε, ὦ παῖδες, οὐδὲ τοῦ-

το πώποτε ἐπείσθην ὡς ἡ ψυχὴ ἕως μὲν ἂν ἐν θνητῷ σώματι ᾖ, ζῇ, ὅταν δὲ τούτου ἀπαλλαγῇ, τέθνηκεν. Ὁρῶ γὰρ ὅτι καὶ τὰ θνητὰ σώματα ὅσον ἂν ἐν αὐτοῖς χρόνον ᾖ ἡ ψυχὴ, ζῶντα παρέχεται. Οὐδέ γε ὅπως ἄφρων ἔσται ἡ ψυχὴ, ἐπειδὰν τοῦ ἄφρονος σώματος δίχα γένηται, οὐδὲ τοῦτο πέπεισμαι· ἀλλ' ὅταν ἄκρατος καὶ καθαρὸς ὁ νοῦς ἐκκριθῇ, τότε καὶ φρονιμώτατον εἰκὸς αὐτὸν εἶναι. Διαλυομένου δὲ ἀνθρώπου δῆλά ἐστιν ἕκαστα ἀπιόντα πρὸς τὸ ὁμόφυλον πλὴν τῆς ψυχῆς· αὕτη δὲ μόνη οὔτε παροῦσα οὔτε ἀπιοῦσα ὁρᾶται. Ἐννοήσατε δὲ, ἔφη, ὅτι ἐγγύτερον μὲν τῷ ἀνθρωπίνῳ θανάτῳ οὐδέν ἐστιν ὕπνου· ἡ δὲ τοῦ ἀνθρώπου ψυχὴ τότε δήπου θειοτάτη καταφαίνεται, καὶ τότε τι τῶν μελλότων προορᾷ· τότε γὰρ, ὡς ἔοικε, μάλιστα ἐλευθεροῦται. Εἰ μὲν οὖν οὕτως ἔχει ταῦτα ὥσπερ ἐγὼ οἴομαι καὶ ἡ ψυχὴ καταλείπει τὸ σῶμα, καὶ τὴν ἐμὴν ψυχὴν καταιδούμενοι ποιεῖτε ἃ ἐγὼ δέομαι· εἰ δὲ μὴ οὕτως, ἀλλὰ μένουσα ἡ ψυχὴ ἐν τῷ σώματι συναποθνήσκει, ἀλλὰ θεούς γε τοὺς ἀεὶ ὄντας καὶ πάντ' ἐφορῶντας καὶ πάντα δυναμένους, οἳ καὶ τήνδε τὴν τῶν ὅλων τάξιν συνέχουσιν ἀτριβῆ καὶ ἀγήρατον καὶ ἀνα-

μάρτητον καὶ ὑπὸ κάλλους καὶ μεγέθους ἀδιήγητον, τούτους φοβούμενοι μήποτε ἀσεβὲς μηδὲν μηδὲ ἀνόσιον μήτε ποιήσητε μήτε βουλεύσητε.»

« Μετὰ μέντοι θεοὺς καὶ ἀνθρώπων τὸ πᾶν γένος τὸ ἀεὶ ἐπιγιγνόμενον αἰδεῖσθε· οὐ γὰρ ἐν σκότῳ ὑμᾶς οἱ θεοὶ ἀποκρύπτονται, ἀλλ' ἐμφανῆ πᾶσιν ἀνάγκη ἀεὶ ζῆν τὰ ὑμέτερα ἔργα· ἃ ἢν μὲν καθαρὰ καὶ ἔξω τῶν ἀδίκων φαίνηται, δυνατοὺς ὑμᾶς ἐν πᾶσιν ἀνθρώποις ἀναδείξει· εἰ δὲ εἰς ἀλλήλους ἄδικόν τι φρονήσετε, ἐκ πάντων ἀνθρώπων τὸ ἀξιόπιστοι εἶναι ἀποβαλεῖτε. Οὐδεὶς γὰρ ἂν ἔτι πιστεῦσαι δύναιτο ὑμῖν, οὐδ' εἰ πάνυ προθυμοῖτο, ἰδὼν ἀδικούμενον τὸν μάλιστα φιλίᾳ προσήκοντα. Εἰ μὲν οὖν ἐγὼ ὑμᾶς ἱκανῶς διδάσκω οἵους χρὴ πρὸς ἀλλήλους εἶναι, εἰ δὲ μὴ, καὶ παρὰ τῶν προγεγενημένων μανθάνετε· αὕτη γὰρ ἀρίστη διδασκαλία. Οἱ μὲν γὰρ πολλοὶ διαγεγένηνται φίλοι μὲν γονεῖς παισὶ, φίλοι δὲ ἀδελφοὶ ἀδελφοῖς· ἤδη δέ τινες τούτων καὶ ἐναντία ἀλλήλοιν ἔπραξαν· ὁποτέροις ἂν οὖν αἰσθάνησθε τὰ πραχθέντα συνενεγκόντα, ταῦτα δὴ αἱρούμενοι ὀρθῶς ἂν βουλεύοισθε. Καὶ τούτων μὲν ἴσως ἤδη ἅλις.»

« Τὸ δ' ἐμὸν σῶμα, ὦ παῖδες, ὅταν τελευτήσω, μήτε ἐν χρυσῷ θῆτε μήτε ἐν ἀργύρῳ μήτε ἐν ἄλλῳ μηδενὶ, ἀλλὰ τῇ γῇ ὡς τάχιστα ἀπόδοτε. Τί γὰρ τούτου μακαριώτερον τοῦ γῇ μιχθῆναι, ἣ πάντα μὲν τὰ καλὰ, πάντα δὲ τἀγαθὰ. φύει τε καὶ τρέφει; ἐγὼ δὲ καὶ ἄλλως φιλάνθρωπος ἐγενόμην καὶ νῦν ἡδέως ἄν μοι δοκῶ κοινωνῆσαι τοῦ εὐεργετοῦντος ἀνθρώπους. Ἀλλὰ γὰρ ἤδη, ἔφη, ἐκλιπεῖν μοι φαίνεται ἡ ψυχὴ ὅθενπερ, ὡς ἔοικε, πᾶσιν ἄρχεται ἀπολείπουσα. Εἴ τις οὖν ὑμῶν ἢ δεξιᾶς βούλεται τῆς ἐμῆς ἅψασθαι ἢ ὄμμα τοὐμὸν ζῶντος ἔτι προσιδεῖν ἐθέλει, προσίτω· ὅταν δ' ἐγὼ ἐγκαλύψωμαι, αἰτοῦμαι ὑμᾶς, ὦ παῖδες, μηδεὶς ἔτ' ἀνθρώπων τοὐμὸν σῶμα ἰδέτω, μηδ' αὐτοὶ ὑμεῖς. »

« Πέρσας μέντοι πάντας καὶ τοὺς συμμάχους ἐπὶ τὸ μνῆμα τοὐμὸν παρακαλεῖτε συνησθησομένους ἐμοὶ ὅτι ἐν τῷ ἀσφαλεῖ ἤδη ἔσομαι, ὡς μηδὲν ἂν ἔτι κακὸν παθεῖν, μήτε ἢν μετὰ τοῦ θείου γένωμαι μήτε ἢν μηδὲν ἔτι ὦ· ὁπόσοι δ' ἂν ἔλθωσι, τούτους εὖ ποιήσαντες ὁπόσα ἐπ' ἀνδρὶ εὐδαίμονι νομίζεται ἀποπέμπετε. Καὶ τοῦτο, ἔφη, μέμνησθέ μου τελευταῖον, τοὺς φίλους εὐεργετοῦ-

ντες καὶ τοὺς ἐχθροὺς δυνήσεσθε κολάζειν. »

« Καὶ χαίρετε, ὦ φίλοι παῖδες, καὶ τῇ μητρὶ ἀπαγγέλλετε ὡς παρ' ἐμοῦ· καὶ πάντες δὲ οἱ παρόντες καὶ οἱ ἀπόντες φίλοι χαίρετε. »

Ταῦτ' εἰπὼν καὶ πάντας δεξιωσάμενος συνεκαλύψατο καὶ οὕτως ἐτελεύτησεν.

Ξενοφωντ. Κυροῦ Παιδ. βιβλ. η'.

DEMOSTHENIS PHILIPPICA II.

Ὅταν, ὦ ἄνδρες Ἀθηναῖοι, λόγοι γίγνωνται περὶ ὧν Φίλιππος πράττει καὶ βιάζεται παρὰ τὴν εἰρήνην· ἀεὶ τοὺς ὑπὲρ ἡμῶν λόγους καὶ δικαίους καὶ φιλανθρώπους ὁρῶ φαινομένους καὶ λέγειν μὲν ἅπαντας ἀεὶ τὰ δέοντα δοκοῦντας τοὺς κατηγοροῦντας Φιλίππου, γιγνόμενον δ' οὐδὲν ὡς ἔπος εἰπεῖν τῶν δεόντων οὐδ' ὧν ἕνεκα ταῦτ' ἀκούειν ἄξιον. Ἀλλ' εἰς τοῦτο ἤδη προηγμένα τυγχάνει πάντα τὰ πράγματα τῇ πόλει, ὥσθ' ὅσῳ τις ἂν μᾶλλον καὶ φανερώτερον ἐξελέγχῃ Φίλιππον καὶ τὴν πρὸς ὑμᾶς εἰρήνην παραβαίνοντα καὶ πᾶσι τοῖς Ἕλλησιν ἐπιβουλεύοντα, τοσούτῳ τὸ τί χρὴ ποιεῖν συμβουλεῦσαι χαλεπώτερον εἶναι. Αἴτιον δὲ τούτων, ὅτι πάντας, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς

πλεονεκτεῖν ζητοῦντας ἔργῳ κωλύειν καὶ πράξεσιν, οὐχὶ λόγοις δέον, πρῶτον μὲν ἡμεῖς οἱ παριόντες τούτων μὲν ἀφέσταμεν, καὶ γράφειν καὶ συμβουλεύειν, τὴν πρὸς ὑμᾶς ἀπέχθειαν ὀκνοῦντες, οἷα ποιεῖ δὲ, ὡς δεινὰ καὶ χαλεπὰ, καὶ τοιαῦτα, διεξερχόμεθα· ἔπειθ' ὑμεῖς οἱ καθήμενοι, ὡς μὲν ἂν εἴποιτε δικαίους λόγους καὶ λέγοντος ἄλλου συνείητε, ἄμεινον Φιλίππου παρεσκεύασθε, ὡς δὲ κωλύσαιτ' ἂν ἐκεῖνον πράττειν ταῦτα ἐφ' ὧν ἐστὶ νῦν, παντελῶς ἀργῶς ἔχετε. Συμβαίνει δὴ πρᾶγμα ἀναγκαῖον, οἶμαι, καὶ ἴσως εἰκός· ἐν οἷς ἑκάτεροι διατρίβετε καὶ περὶ ἃ σπουδάζετε, ταῦτ' ἄμεινον ἑκατέροις ἔχει, ἐκείνῳ μὲν αἱ πράξεις, ὑμῖν δ' οἱ λόγοι. Εἰ μὲν οὖν καὶ νῦν λέγειν δικαιότερα ὑμῖν ἐξαρκεῖ· ῥᾴδιον, καὶ πόνος οὐδεὶς πρόσεστι τῷ πράγματι. Εἰ δ' ὅπως τὰ παρόντ' ἐπανορθωθήσεται δεῖ σκοπεῖν, καὶ μὴ προελθόντα ἔτι πορρωτέρω λήσει πάνθ' ἡμᾶς, μηδ' ἐπιστήσεται μέγεθος δυνάμεως πρὸς ἣν οὐδ' ἀντᾶραι δυνησόμεθα· οὐχ ὁ αὐτὸς τρόπος ὅσπερ πρότερον τοῦ βουλεύεσθαι, ἀλλὰ καὶ τοῖς λέγουσιν ἅπασι καὶ τοῖς ἀκούουσιν ὑμῖν τὰ βέλτιστα καὶ τὰ σώζοντ' ἀντὶ τῶν ῥᾴστων καὶ τῶν ἡδίστων προαιρετέον.

Πρῶτον μὲν οὖν, εἴ τις, ὦ ἄνδρες Ἀθηναῖοι, θαῤῥεῖ ὁρῶν ἡλίκος ἤδη καὶ ὅσων κύριός ἐστι Φίλιππος, καὶ μηδένα οἴεται κίνδυνον φέρειν τοῦτο τῇ πόλει μηδ' ἐφ' ὑμᾶς πάντα ταῦτα παρασκευάζεσθαι, θαυμάζω, καὶ δεηθῆναι πάντων ὁμοίως ὑμῶν βούλομαι τοὺς λογισμοὺς ἀκοῦσαί μου διὰ βραχέων, δι' οὓς τἀναντία ἐμοὶ παρέστηκε προσδοκᾶν καὶ δι' ὧν ἐχθρὸν ἡγοῦμαι Φίλιππον, ἵν', ἐὰν μὲν ἐγὼ δοκῶ βέλτιον τῶν ἄλλων προορᾶν, ἐμοὶ πεισθῆτε· ἐὰν δ' οἱ θαῤῥοῦντες καὶ πεπιστευκότες αὐτῷ· τούτοις προσθήσεσθε. Ἐγὼ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, λογίζομαι, τίνων ὁ Φίλιππος κύριος πρῶτον μετὰ τὴν εἰρήνην κατέστη; Πυλῶν καὶ τῶν ἐν Φωκεῦσι πραγμάτων. Τί οὖν; πῶς τούτοις ἐχρήσατο; ἃ Θηβαίοις συμφέρει καὶ οὐχ ἃ τῇ πόλει, πράττειν προείλετο. Τί δή ποτε; ὅτι πρὸς πλεονεξίαν, οἶμαι, καὶ τὸ πάνθ' ὑφ' ἑαυτῷ ποιήσασθαι τοὺς λογισμοὺς ἐξετάζων, καὶ οὐχὶ πρὸς εἰρήνην οὐδ' ἡσυχίαν οὐδὲ δίκαιον οὐδέν· εἶδε τοῦτ' ὀρθῶς, ὅτι τῇ μὲν ἡμετέρᾳ πόλει καὶ τοῖς ἤθεσι τοῖς ἡμετέροις οὐδὲν ἂν ἐνδείξαιτο τοιοῦτον οὐδὲ ποιήσειεν, ὑφ' οὗ πεισθέντες ὑμεῖς

τῆς ἰδίας ἕνεκ' ὠφελείας τῶν ἄλλων τινὰς Ἑλλήνων ἐκείνῳ προεῖσθε, ἀλλὰ καὶ τοῦ δικαίου λόγον ποιούμενοι, καὶ τὴν προσοῦσαν ἀδοξίαν τῷ πράγματι φεύγοντες, καὶ πάνθ' ἃ προσήκει προορώμενοι, ὁμοίως ἐναντιώσεσθε, ἄν τι τοιοῦτον ἐπιχειρῇ πράττειν, ὥσπερ ἂν εἰ πολεμοῦντες τύχοιτε.

Τοὺς δὲ Θηβαίους ἡγεῖτο, ὅπερ συνέβη, ἀντὶ τῶν ἑαυτοῖς γιγνομένων τὰ λοιπὰ ἐάσειν ὅπως βούλεται πράττειν ἑαυτὸν, καὶ οὐχ ὅπως ἀντιπράξειν καὶ διακωλύσειν, ἀλλὰ καὶ συστρατεύσειν, ἂν αὐτοὺς κελεύῃ. Καὶ νῦν τοὺς Μεσσηνίους καὶ τοὺς Ἀργείους ταὐτὰ ὑπειληφὼς εὖ ἐποίει· ὃ καὶ μέγιστόν ἐστι καθ' ὑμῶν ἐγκώμιον, ὦ ἄνδρες Ἀθηναῖοι. Κέκρισθε γὰρ ἐκ τούτων τῶν ἔργων μόνοι τῶν πάντων μηδενὸς ἂν κέρδους τὰ κοινὰ δίκαια τῶν Ἑλλήνων προέσθαι, μηδ' ἀνταλλάξασθαι μηδεμιᾶς χάριτος μηδ' ὠφελείας τὴν εἰς τοὺς Ἕλληνας εὔνοιαν. Καὶ ταῦτ' εἰκότως καὶ περὶ ὑμῶν οὕτως ὑπείληφε καὶ κατ' Ἀργείων καὶ Θηβαίων ὡς ἑτέρως, οὐ μόνον εἰς τὰ παρόντα ὁρῶν, ἀλλὰ καὶ τὰ πρὸ τούτων λογιζόμενος. Εὑρίσκει γὰρ, οἶμαι, καὶ ἀκούει τοὺς μὲν ὑμετέρους προγόνους, ἐξὸν αὐτοῖς τῶν λοιπῶν ἄρχειν Ἑλλήνων ὥστ' αὐ-

τοὺς ὑπακούειν βασιλεῖ, οὐ μόνον οὐκ ἀνασχομένους τὸν λόγον τοῦτον, ἡνίκ' ἦλθεν Ἀλέξανδρος ὁ τούτων πρόγονος περὶ τούτων κῆρυξ, ἀλλὰ καὶ τὴν χώραν ἐκλιπεῖν προελομένους καὶ παθεῖν ὁτιοῦν ὑπομείναντας, καὶ μετὰ ταῦτα πράξαντας ταῦθ' ἃ πάντες ἀεὶ γλίχονται λέγειν, ἀξίως δ' οὐδεὶς εἰπεῖν δεδύνηται, διόπερ κἀγὼ παραλείψω δικαίως (ἔστι γὰρ μείζονα τἀκείνων ἔργα ἢ ὡς τῷ λόγῳ τις ἂν εἴποι), τοὺς δὲ Θηβαίων καὶ Ἀργείων προγόνους τοὺς μὲν συστρατεύσαντας τῷ βαρβάρῳ, τοὺς δ' οὐκ ἐναντιωθέντας. Οἶδεν οὖν ἀμφοτέρους ἰδίᾳ τὸ λυσιτελοῦν ἀγαπήσοντας, οὐχ ὅτι συνοίσει κοινῇ τοῖς Ἕλλησι σκεψομένους. Ἡγεῖτ' οὖν, εἰ μὲν ὑμᾶς ἕλοιτο φίλους, ἐπὶ τοῖς δικαίοις αἱρήσεσθαι, εἰ δ' ἐκείνοις προσθεῖτο, συνεργοὺς ἕξειν τῆς αὑτοῦ πλεονεξίας. Διὰ ταῦτ' ἐκείνους ἀνθ' ὑμῶν καὶ τότε καὶ νῦν αἱρεῖται· οὐ γὰρ δὴ τριήρεις γε ὁρᾷ πλείους αὐτοῖς ἢ ὑμῖν ἐνούσας, οὐδ' ἐν μὲν τῇ μεσογείᾳ τιν' ἀρχὴν εὕρηκε, τῆς δ' ἐπὶ τῇ θαλάττῃ καὶ τῶν ἐμπορίων ἀφέστηκεν, οὐδ' ἀμνημονεῖ τοὺς λόγους οὐδὲ τὰς ὑποσχέσεις, ἐφ' αἷς τῆς εἰρήνης ἔτυχεν.

Ἀλλὰ νὴ Δί', εἴποι τις ἂν ὡς πάντα ταῦτ' εἰ-

δίως, οὐ πλεονεξίας ἕνεκεν οὐδ' ὧν ἐγὼ κατηγορῶ τότε ταῦτ' ἔπραξεν, ἀλλὰ τῷ δικαιότερα τοὺς Θηβαίους ἢ ὑμᾶς ἀξιοῦν. Ἀλλὰ τοῦτον καὶ μόνον πάντων τῶν λόγων οὐκ ἔνεστιν αὐτῷ νῦν εἰπεῖν· ὁ γὰρ Μεσσήνην Λακεδαιμονίους ἀφιέναι κελεύων πῶς ἂν Ὀρχομενὸν καὶ Κορώνειαν τότε Θηβαίοις παραδοὺς τῷ δίκαια νομίζειν ταῦτ' εἶναι πεποιηκέναι σκήψαιτο;

Ἀλλ' ἐβιάσθη νὴ Δία (τοῦτο γάρ ἐσθ' ὑπόλοιπον) καὶ παρὰ γνώμην, τῶν Θετταλῶν ἱππέων καὶ τῶν Θηβαίων ὁπλιτῶν ἐν μέσῳ ληφθεὶς, συνεχώρησε ταῦτα. Καλῶς· οὐκοῦν φασὶ μὲν μέλλειν πρὸς τοὺς Θηβαίους αὐτὸν ὑπόπτως ἔχειν, καὶ λογοποιοῦσι περιιόντες τινὲς, ὡς Ἐλάτειαν τειχιεῖ. Ὁ δὲ ταῦτα μὲν μέλλει καὶ μελλήσει γε, ὡς ἐγὼ κρίνω, τοῖς Μεσσηνίοις δὲ καὶ τοῖς Ἀργείοις ἐπὶ τοὺς Λακεδαιμονίους συμβάλλειν οὐ μέλλει, ἀλλὰ καὶ ξένους εἰσπέμπει καὶ χρήματ' ἀποστέλλει καὶ δύναμιν μεγάλην ἔχων αὐτός ἐστι προσδόκιμος. Τοὺς μὲν ὄντας ἐχθροὺς Θηβαίων Λακεδαιμονίους ἀναιρεῖ, οὓς δ' ἀπώλεσεν αὐτὸς πρότερον Φωκέας νῦν σώζει; Καὶ τίς ἂν ταῦτα πιστεύσειεν; ἐγὼ μὲν γὰρ οὐδ' ἂν ἡγοῦμαι Φίλιππον, οὔτ' εἰ τὰ

πρῶτα βιασθεὶς ἄκων ἔπραξεν οὔτ' ἂν εἰ νῦν ἀπεγίγνωσκε Θηβαίους, τοῖς ἐκείνων ἐχθροῖς συνεχῶς ἐναντιοῦσθαι, ἀλλ' ἀφ' ὧν νῦν ποιεῖ, κἀκεῖνα ἐκ προαιρέσεως δῆλός ἐστι ποιήσας, ἐκ πάντων δ' ἄν τις ὀρθῶς θεορῇ, πάντα πραγματεύεται, κατὰ τῆς πόλεως συντάττων. Καὶ τοῦτ' ἐξ ἀνάγκης τρόπον τιν' αὐτῷ νῦν γε δὴ συμβαίνει. Λογίζεσθε γάρ· ἄρχειν βούλεται, τούτου δ' ἀνταγωνιστὰς μόνους ὑπείληφεν ὑμᾶς. 'Αδικεῖ πολὺν ἤδη χρόνον, καὶ τοῦτο αὐτὸς ἄριστα σύνοιδεν ἑαυτῷ· οἷς γὰρ οὖσιν ὑμετέροις ἔχει, τούτοις πάντα τἆλλα ἀσφαλῶς κέκτηται. Εἰ γὰρ 'Αμφίπολιν καὶ Ποτίδαιαν προεῖτο· οὐδ' ἂν οἴκοι μένειν βεβαίως ἡγεῖτο.

'Αμφότερα οὖν οἶδε, καὶ ἑαυτὸν ὑμῖν ἐπιβουλεύοντα καὶ ὑμᾶς αἰσθανομένους· εὖ φρονεῖν δ' ὑμᾶς ὑπολαμβάνων, δικαίως ἂν αὐτὸν μισεῖν νομίζοι καὶ παρώξυνται, πείσεσθαί τι προσδοκῶν, ἂν καιρὸν λάβητε, ἐὰν μὴ φθάσῃ ποιήσας πρότερος. Διὰ ταῦτ' ἐγρήγορεν, ἐφέστηκεν ἐπὶ τῇ πόλει, θεραπεύει τινάς, Θηβαίους καὶ Πελοποννησίων τοὺς ταὐτὰ βουλομένους τούτοις, οὓς διὰ μὲν πλεονεξίαν τὰ παρόντα ἀγαπήσειν οἴεται, διὰ δὲ σκαιότητα τρόπων τῶν μετὰ ταῦτ' οὐδὲν προόψεσθαι.

Καίτοι σωφρονοῦσί γε καὶ μετρίως ἐναργῆ παραδείγματ' ἔστιν ἰδεῖν, ἃ καὶ πρὸς Μησσηνίους καὶ πρὸς Ἀργείους ἔμοιγ' εἰπεῖν συνέβη, βέλτιον δ' ἴσως καὶ πρὸς ὑμᾶς ἐστὶν εἰρῆσθαι.

Πῶς γὰρ οἴεσθ', ἔφην, ὦ ἄνδρες Μεσσήνιοι, δυσχερῶς ἀκούειν Ὀλυνθίους, εἴ τίς τι λέγοι κατὰ Φιλίππου κατ' ἐκείνους τοὺς χρόνους, ὅτ' Ἀνθεμοῦντα μὲν αὐτοῖς ἠφίει, ἧς πάντες οἱ πρότερον Μακεδονίας βασιλεῖς ἀντεποιοῦντο, Ποτίδαιαν δ' ἐδίδου τοὺς Ἀθηναίων ἀποίκους ἐκβάλλων, καὶ τὴν μὲν ἔχθραν τὴν πρὸς ἡμᾶς αὐτὸς ἀνῄρητο, τὴν χώραν δ' ἐκείνοις ἐδεδώκει καρποῦσθαι; ἆρα προσδοκᾶν αὐτοὺς τοιαῦτα πείσεσθαι, ἢ λέγοντος ἂν τινος πιστεῦσαι (οἴεσθε); Ἀλλ' ὅμως, ἔφην ἐγὼ, μικρὸν χρόνον τὴν ἀλλοτρίαν καρπωσάμενοι πολὺν τῆς ἑαυτῶν ὑπ' ἐκείνου στέρονται, αἰσχρῶς ἐκπεσόντες, οὐ κρατηθέντες μόνον, ἀλλὰ καὶ προδοθέντες ὑπ' ἀλλήλων καὶ πραθέντες· οὐ γὰρ ἀσφαλεῖς ταῖς πολιτείαις αἱ πρὸς τοὺς τυράννους αὗται λίαν ὁμιλίαι. Τί δ' οἱ Θετταλοί; ἆρ' οἴεσθ', ἔφην, ὅτ' αὐτοῖς τοὺς τυράννους ἐξέβαλλε καὶ πάλιν Νίκαιαν καὶ Μαγνησίαν ἐδίδου, προσδοκᾶν τὴν καθεστῶσαν νῦν δεκαδαρχίαν ἔσεσθαι παρ' αὐτοῖς;

ἢ τὸν τὴν πυλαίαν ἀποδόντα τοῦτον τὰς ἰδίας αὐτῶν προσόδους παραιρήσεσθαι; οὐκ ἔστι ταῦτα· ἀλλὰ μὴν γέγονε ταῦτα καὶ πᾶσιν ἔστιν εἰδέναι. Ὑμεῖς δ', ἔφην ἐγὼ, διδόντα μὲν καὶ ὑπισχνούμενον θεωρεῖτε Φίλιππον, ἐξηπατηκότα δ' ἤδη καὶ παρακεκρουμένον ἀπεύχεσθ', εἰ σωφρονεῖτε δὴ ἰδεῖν. Ἔστι τοίνυν νὴ Δί', ἔφην ἐγὼ, παντοδαπὰ εὑρημένα ταῖς πόλεσι πρὸς φυλακὴν καὶ σωτηρίαν, οἷον χαρακώματα καὶ τείχη καὶ τάφροι καὶ τἆλλα ὅσα τοιαῦτα· καὶ ταῦτα μέν ἐστιν ἅπαντα χειροποίητα, καὶ δαπάνης προσδεῖται. Ἓν δέ τι κοινὸν ἡ φύσις τῶν εὖ φρονούντων ἐν ἑαυτῇ κέκτηται φυλακτήριον, ὃ πᾶσι μέν ἐστιν ἀγαθὸν καὶ σωτήριον, μάλιστα δὲ τοῖς πλήθεσι πρὸς τοὺς τυράννους· τί οὖν ἐστὶ τοῦτο; ἀπιστία. Ταύτην φυλάττετε, ταύτης ἀντέχεσθε· ἐὰν ταύτην σώζητε, οὐδὲν μὴ δεινὸν πάθητε. Τί ζητεῖτε; ἔφην· ἐλευθερίαν. Εἶτε οὐχ ὁρᾶτε Φίλιππον ἀλλοτριωτάτας ταύτῃ καὶ τὰς προσηγορίας ἔχοντα; βασιλεὺς γὰρ καὶ τύραννος ἅπας ἐχθρὸς ἐλευθερίᾳ καὶ νόμοις ἐναντίος. Οὐ φυλάξεσθ' ὅπως, ἔφην, μὴ πολέμου ζητοῦντες ἀπαλλαγῆναι δεσπότην εὕρητε;

Ταῦτ' ἀκούσαντες ἐκεῖνοι, καὶ θορυβοῦντες ὡς

ὀρθῶς λέγεται, καὶ πολλοὺς ἑτέρους λόγους παρὰ τῶν πρέσβεων καὶ παρόντος ἐμοῦ καὶ πάλιν ὕστερον (ἀκούσαντες), ὡς ἔοικεν οὐδὲν μᾶλλον ἀποσχήσονται τῆς Φιλίππου φιλίας οὐδ' ὧν ἐπαγγέλλεται. Καὶ οὐ τοῦτό ἐστιν ἄτοπον, εἰ Μεσσήνιοι καὶ Πελοποννησίων τινὲς παρ' ἃ τῷ λογισμῷ βέλτισθ' ὁρῶσί τι πράξουσιν, ἀλλ' ὑμεῖς (αὐτοὶ) οἱ καὶ συνιέντες αὐτοὶ καὶ τῶν λεγόντων ἀκούοντες ἡμῶν, ὡς ἐπιβουλεύεσθε, ὡς περιτειχίζεσθε, ὥστε μηδὲν ἤδη ποιεῖν, λήσεσθ', ὡς ἐμοὶ δοκεῖ πάνθ' ὑπομείναντες. Οὕτως ἡ παραυτίχ' ἡδονὴ καὶ ῥᾳστώνη μεῖζον ἰσχύει τοῦ ποθ' ὕστερον συνοίσειν μέλλοντος.

Περὶ μὲν δὴ τῶν ὑμῖν πρακτέων καθ' ὑμᾶς αὐτοὺς ὕστερον βουλεύσεσθε, ἂν σωφρονῆτε, ἃ δὲ νῦν ἀποκρινάμενοι τὰ δέοντ' ἂν εἴητ' ἐψηφισμένοι, ταῦτα δὴ λέξω; Ἦν μὲν οὖν δίκαιον, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς ἐνεγκόντας ὑποσχέσεις, ἐφ' αἷς ἐπείσθητε ποιήσασθαι τὴν εἰρήνην, καλεῖν· οὔτε γὰρ αὐτὸς ἄν ποτε ὑπέμεινα πρεσβεύειν, οὔτ' ἂν ὑμεῖς οἶδ' ὅτι ἐπαύσασθε πολεμοῦντες, εἰ τοιαῦτα πράξειν τυχόντα εἰρήνης Φίλιππον ᾤεσθε· ἀλλ' ἦν πολὺ τούτων ἀφεστηκότα τὰ τότε λεγόμενα.

Καὶ πάλιν γ' ἑτέρους καλεῖν· τίνας; τοὺς, ὅτ' ἐγὼ γεγονυίας ἤδη τῆς εἰρήνης ἀπὸ τῆς ὑστέρας ἥκων πρεσβείας τῆς ἐπὶ τοὺς ὅρκους, αἰσθόμενος φενακιζομένην τὴν πόλιν, προὔλεγον καὶ διεμαρτυρόμην καὶ οὐκ εἴων προέσθαι Πύλας οὐδὲ Φωκέας λέγοντας ὡς ἐγὼ μὲν ὕδωρ πίνων εἰκότως δύστροπος καὶ δύσκολός εἰμί τις ἄνθρωπος, Φίλιππος δ', ἅπερ εὔξαισθ' ἂν ὑμεῖς, ἐὰν παρέλθῃ, πράξει, καὶ Θεσπιὰς μὲν καὶ Πλαταιὰς τειχιεῖ, Θηβαίους δὲ παύσει τῆς ὕβρεως, Χεῤῥόνησον δὲ τοῖς αὑτοῦ τέλεσι διορύξει, Εὔβοιαν δὲ καὶ τὸν Ὠρωπὸν ἀντ' Ἀμφιπόλεως ὑμῖν ἀποδώσει· ταῦτα γὰρ ἅπαντα ἐπὶ τοῦ βήματος ἐνταῦθα μνημονεύετ' οἶδ' ὅτι ῥηθέντα, καίπερ ὄντες οὐ δεινοὶ τοὺς ἀδικοῦντας μεμνῆσθαι. Καὶ τὸ πάντων αἴσχιστον, καὶ τοῖς ἐκγόνοις πρὸς τὰς ἐλπίδας τὴν αὐτὴν εἰρήνην εἶναι ταύτην ἐψηφίσασθε· οὕτω τελέως ὑπήχθητε. Τί δὴ ταῦτα νῦν λέγω καὶ καλεῖν φημὶ δεῖν τούτους; Ἐγὼ νὴ τοὺς θεοὺς τἀληθῆ μετὰ παῤῥησίας ἐρῶ πρὸς ὑμᾶς καὶ οὐκ ἀποκρύψομαι. Οὐχ ἵν' εἰς λοιδορίαν ἐμπεσὼν ἐμαυτῷ μὲν ἐξ ἴσου λόγον παρ' ὑμῖν ποιήσω, τοῖς δ' ἐμοὶ προσκρούσασιν ἐξ ἀρχῆς καὶ νῦν παράσχω πρόφασιν τοῦ πάλιν τι λα-

βεῖν παρὰ Φιλίππου, οὐδ' ἵνα ὡς ἄλλως ἀδολεσχῶ· ἀλλ' οἶμαι ποθ' ὑμᾶς λυπήσειν, ἃ Φίλιππος πράττει, μᾶλλον ἢ τανυνί. Τὸ γὰρ πρᾶγμα ὁρῶ προβαῖνον, καὶ οὐχὶ βουλοίμην ἂν εἰκάζειν ὀρθῶς, φοβοῦμαι δὲ μὴ λίαν ἐγγὺς ᾖ τοῦτ' ἤδη. Ὅταν οὖν μηκέθ' ὑμῖν ἀμελεῖν ἐξουσία γίγνηται τῶν συμβαινόντων, μηδ' ἀκούηθ', ὅτι ταῦτ' ἐφ' ὑμᾶς ἐστὶν, ἐμοῦ μηδὲ τοῦ δεῖνος, ἀλλ' αὐτοὶ πάντες ὁρᾶτε καὶ εὖ εἰδῆτε· ὀργίλους καὶ τραχεῖς ὑμᾶς ἔσεσθαι νομίζω. Φοβοῦμαι δὴ μὴ τῶν πρέσβεων σεσιωπηκότων, ἐφ' οἷς αὐτοῖς συνίσασι δεδωροδοκηκότες, τοῖς ἐπανορθοῦν τι πειρωμένοις τῶν διὰ τούτους ἀπολωλότων τῇ παρ' ὑμῶν ὀργῇ περιπεσεῖν συμβῇ· ὁρῶ γὰρ ὡς τὰ πολλὰ ἐνίους οὐκ εἰς τοὺς αἰτίους ἀλλ' εἰς τοὺς ὑπὸ χεῖρα μάλιστα τὴν ὀργὴν ἀφιέντας· Ἕως οὖν ἔτι μέλλει καὶ συνίσταται τὰ πράγματα καὶ κατακούομεν ἀλλήλων, ἕκαστον ὑμῶν, καίπερ ἀκριβῶς εἰδότα, ὅμως ἐπαναμνῆσαι βούλομαι, τίς ὁ Φωκέας πείσας καὶ Πύλας ὑμᾶς προέσθαι, ὧν καταστὰς ἐκεῖνος κύριος τῆς ἐπὶ τὴν Ἀττικὴν ὁδοῦ καὶ τῆς εἰς Πελοπόννησον κύριος γέγονε, καὶ πεποίηχ' ὑμῖν μὴ περὶ τῶν δικαίων μηδ' ὑπὲρ τῶν ἔξω πραγμάτων εἶναι

τὴν βουλὴν, ἀλλ᾽ ὑπὲρ τῶν ἐν τῇ χώρᾳ καὶ τοῦ πρὸς τὴν Ἀττικὴν πολέμου, ὃς λυπήσει μὲν ἕκαστον, ἐπειδὰν παρῇ, γέγονε δ᾽ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. Εἰ γὰρ μὴ παρεκρούσθητε τόθ᾽ ὑμεῖς, οὐδὲν ἂν ἦν τῇ πόλει πρᾶγμα. Οὔτε γὰρ ναυσὶ δήπου κρατήσας εἰς τὴν Ἀττικὴν ἦλθεν ἄν ποτε στόλῳ Φίλιππος οὔτε πεζῇ βαδίζων ὑπὲρ τὰς Πύλας καὶ Φωκέας, ἀλλ᾽ ἢ τὰ δίκαι᾽ ἂν ἐποίει καὶ τὴν εἰρήνην ἄγων ἡσυχίαν εἶχεν, ἢ παραχρῆμ᾽ ἂν ἦν ἐν ὁμοίῳ πολέμῳ δι᾽ ὃν τότε τῆς εἰρήνης ἐπεθύμησεν. Ταῦτ᾽ οὖν ὡς μὲν ὑπομνῆσαι, νῦν ἱκανῶς εἴρηται, ὡς δ᾽ ἂν ἐξετασθείη μάλιστ᾽ ἀκριβῶς, μὴ γένοιτο, ὦ πάντες θεοί. Οὐδένα γὰρ βουλοίμην ἔγωγ᾽ ἄν, οὐδ᾽ εἰ δίκαιός ἐστ᾽ ἀπολωλέναι, μετὰ τοῦ πάντων κινδύνου καὶ τῆς ζημίας δίκην ὑποσχεῖν.

Δημοσθ. κατὰ Φιλίππ. β΄.



Quales sint orbis terrarum plagæ narrat Socrates.

Εἰσὶ δὲ πολλοὶ καὶ θαυμαστοὶ τῆς γῆς τόποι· καὶ αὐτὴ, οὔτε οἵα οὔτε ὅση δοξάζεται ὑπὸ τῶν περὶ γῆς εἰωθότων λέγειν, ὡς ἐγὼ ὑπό τινος πέπεισμαι. Καὶ ὁ Σιμμίας, Πῶς ταῦτα, ἔφη, λέγεις ὦ Σώκρατες; περὶ γάρ τοι τῆς γῆς καὶ αὐτὸς πολλὰ δὴ ἀκήκοα· οὐ μέντοι ταῦτα ἃ σε πείθει· ἡδέως ἂν οὖν ἀκούσαιμι. Ἀλλὰ μέντοι, ὦ Σιμμία, οὐχ ἡ Γλαύκου τέχνη γέ μοι δοκεῖ εἶναι διηγήσασθαι ἃ γ' ἐστίν· ὡς μέντοι ἀληθῆ, χαλεπώτερόν μοι φαίνεται ἢ κατὰ τὴν Γλαύκου τέχνην. Καὶ ἅμα μὲν ἐγὼ ἴσως οὐδ' ἂν οἷός τε εἴην, ἅμα δὲ, εἰ καὶ ἠπιστάμην, ὁ βίος μοι δοκεῖ ὁ ἐμὸς, ὦ Σιμμία, τῷ μήκει τοῦ λόγου οὐκ ἐξαρκεῖν. Τὴν μέντοι ἰδέαν τῆς γῆς, οἵαν πέπεισμαι εἶναι, καὶ τοὺς τόπους αὐτῆς, οὐδέν με κωλύει λέγειν.

Ἀλλ', ἔφη ὁ Σιμμίας, καὶ ταῦτα ἀρκεῖ. Πέπεισμαι τοίνυν, ἦ δ' ὅς, ἐγὼ, ὡς πρῶτον μὲν, εἰ ἔστιν ἐν μέσῳ τῷ οὐρανῷ περιφερὴς οὖσα, μηδὲν αὐτῇ δεῖν μήτε ἀέρος πρὸς τὸ μὴ πεσεῖν, μήτε ἄλλης ἀνάγκης μηδεμιᾶς τοιαύτης· ἀλλὰ ἱκανὴν

γε εἶναι αὐτὴν ἴσχειν τὴν ὁμοιότητα τοῦ οὐρανοῦ αὐτοῦ ἑαυτῷ πάντη, καὶ τῆς γῆς αὐτῆς τὴν ἰσοῤῥοπίαν. Ἰσόῤῥοπον γὰρ πρᾶγμα, ὁμοίου τινὸς ἐν μέσῳ τεθὲν, οὐχ ἕξει μᾶλλον οὐδ' ἧττον οὐδαμόσε κλιθῆναι· ὁμοίως δ' ἔχον, ἀκλινὲς μενεῖ· πρῶτον μὲν δὴ, ἦ δ' ὅς, τοῦτο πέπεισμαι. Καὶ ὀρθῶς γε, ἔφη ὁ Σιμμίας. Ἔτι τοίνυν, ἔφη, πάμμεγά τι εἶναι αὐτό· καὶ ἡμᾶς οἰκεῖν τοὺς μέχρι Ἡρακλείων στηλῶν ἀπὸ Φάσιδος ἐν σμικρῷ τινὶ μορίῳ, ὥσπερ περὶ τέλμα μύρμηκας ἢ βατράχους, περὶ τὴν θάλατταν οἰκοῦντας, καὶ ἄλλους ἄλλοθι πολλοὺς ἐν πολλοῖς τοιούτοις τόποις οἰκεῖν. Εἶναι γὰρ πανταχῆ περὶ τὴν γῆν πολλὰ κοῖλα καὶ παντοδαπὰ καὶ τὰς ἰδέας καὶ τὰ μεγέθη· εἰς ἃ ξυνεῤῥυηκέναι τό, τε ὕδωρ καὶ τὴν ὁμίχλην, καὶ τὸν ἀέρα· αὐτὴν δὲ τὴν γῆν καθαρὰν ἐν καθαρῷ κεῖσθαι τῷ οὐρανῷ, ἐν ᾧπέρ ἐστι τὰ ἄστρα, ὃν δὴ αἰθέρα ὀνομάζειν τοὺς πολλοὺς τῶν περὶ τὰ τοιαῦτα εἰωθότων λέγειν· οὗ δὴ ὑποστάθμην ταῦτα εἶναι, καὶ ξυῤῥεῖν ἀεὶ εἰς τὰ κοῖλα τῆς γῆς. Ἡμᾶς οὖν οἰκοῦντας ἐν τοῖς κοίλοις αὐτῆς λεληθέναι, καὶ οἴεσθαι ἄνω ἐπὶ τῆς γῆς οἰκεῖν· ὥσπερ ἂν εἴ τις ἐν μέσῳ τῷ πυθμένι τοῦ πελάγους οἰκῶν, οἴοιτό

τε ἐπὶ τῆς θαλάττης οἰκεῖν, καὶ διὰ τοῦ ὕδατος ὁρῶν τὸν ἥλιον καὶ τὰ ἄλλα ἄστρα, τὴν θάλατταν ἡγοῖτο οὐρανὸν εἶναι, διὰ δὲ βραδυτῆτά τε καὶ ἀσθένειαν, μηδεπώποτε ἐπὶ τὰ ἄκρα τῆς θαλάττης ἀφιγμένος μηδὲ ἑωρακὼς εἴη, ἐκδὺς καὶ ἀνακύψας ἐκ τῆς θαλάττης εἰς τὸν ἐνθάδε τόπον, ὅσῳ καθαρώτερος καὶ καλλίων τυγχάνει ὢν τοῦ παρὰ σφίσι, μηδὲ ἄλλου ἀκηκοὼς εἴη τοῦ ἑωρακότος· ταὐτὸν δὴ τοῦτο καὶ ἡμᾶς πεπονθέναι.

Οἰκοῦντας γὰρ ἔν τινι κοίλῳ τῆς γῆς, οἴεσθαι ἐπάνω αὐτῆς οἰκεῖν, καὶ τὸν ἀέρα οὐρανὸν καλεῖν, ὡς διὰ τούτου, οὐρανοῦ ὄντος, τὰ ἄστρα χωροῦντα· τὸ δὲ εἶναι ταὐτὸν, ὑπ' ἀσθενείας καὶ βραδυτῆτος οὐχ οἵους τε εἶναι ἡμᾶς διεξελθεῖν ἐπ' ἔσχατον τὸν ἀέρα. Ἐπεὶ, εἴ τις αὐτοῦ ἐπ' ἄκρα ἔλθοι, ἢ πτηνὸς γενόμενος ἀνάπτοιτο, κατιδεῖν ἂν ἀνακύψαντα, ὥσπερ ἐνθάδε οἱ ἐκ τῆς θαλάττης ἰχθύες ἀνακύπτοντες ὁρῶσι τὰ ἐνθάδε, οὕτως ἄν τινα καὶ τὰ ἐκεῖ κατιδεῖν· καὶ εἰ ἡ φύσις ἱκανὴ εἴη ἀνασχέσθαι θεωροῦσα, γνῶναι ἂν ὅτι ἐκεῖνός ἐστιν ὁ ἀληθινὸς οὐρανὸς καὶ τὸ ἀληθινὸν φῶς καὶ ἡ ὡς ἀληθῶς γῆ. Ἥδε μὲν γὰρ ἡ γῆ καὶ οἱ λίθοι, καὶ ἅπας ὁ τόπος ὁ ἐνθάδε, διεφθαρμένα ἐστὶ

καὶ καταβεβρωμένα, ὥσπερ τὰ ἐν τῇ θαλάττῃ ὑπὸ τῆς ἅλμης· καὶ οὔτε φύεται ἄξιον λόγου οὐδὲν ἐν τῇ θαλάττῃ, οὔτε τέλειον, ὡς ἔπος εἰπεῖν, οὐδέν ἐστι· σήραγγες δὲ καὶ ἄμμος, καὶ πηλὸς ἀμήχανος καὶ βόρβοροί εἰσιν, ὅπου ἂν καὶ ἡ γῆ ᾖ· καὶ πρὸς τὰ παρ' ἡμῖν κάλλη κρίνεσθαι οὐδ' ὁπωστιοῦν ἄξια. Ἐκεῖνα δὲ αὖ τῶν παρ' ἡμῖν πολὺ ἂν ἔτι πλέον φανείη διαφέρειν. Εἰ γὰρ δεῖ καὶ μῦθον λέγειν καλὸν, ἄξιον ἀκοῦσαι, ὦ Σιμμία, οἷα τυγχάνει τὰ ἐπὶ τῆς γῆς ὑπὸ τῷ οὐρανῷ ὄντα. Ἀλλὰ μὴν, ἔφη ὁ Σιμμίας, ὦ Σώκρατες, ἡμεῖς γε τούτου τοῦ μύθου ἡδέως ἂν ἀκούσαιμεν.

Λέγεται τοίνυν, ἔφη, ὦ ἑταῖρε, πρῶτον μὲν εἶναι τοιαύτη ἡ γῆ αὐτὴ ἰδεῖν, εἴ τις ἄνωθεν θεῷτο, ὥσπερ αἱ δωδεκάσκυτοι σφαῖραι, ποικίλη, χρώμασι διειλημμένη· ὧν καὶ τὰ ἐνθάδε εἶναι χρώματα ὥσπερ δείγματα, οἷς δὴ οἱ γραφεῖς καταχρῶνται. Ἐκεῖ δὲ πᾶσαν τὴν γῆν ἐκ τοιούτων εἶναι, καὶ πολὺ ἔτι ἐκ λαμπροτέρων καὶ καθαρωτέρων ἢ τούτων. Τὴν μὲν γὰρ ἁλουργῆ εἶναι καὶ θαυμαστὴν τὸ κάλλος, τὴν δὲ χρυσοειδῆ· τὴν δὲ ὅση λευκὴ, γύψου ἢ χιόνος λευκοτέραν, καὶ ἐκ τῶν ἄλλων χρωμάτων ξυγκειμένην ὡσαύτως, καὶ ἔτι

πλειόνων καὶ καλλιόνων ἢ ὅσα ἡμεῖς ἑωράκαμεν. Καὶ γὰρ αὐτὰ ταῦτα τὰ κοῖλα αὐτῆς, ὕδατός τε καὶ ἀέρος ἔμπλεα ὄντα, χρώματός τι εἶδος παρέχεσθαι, στίλβοντα ἐν τῇ τῶν ἄλλων χρωμάτων ποικιλίᾳ· ὥστε ἕν τι αὐτῆς εἶδος ξυνεχὲς ποικίλον φαντάζεσθαι. Ἐν δὲ ταύτῃ οὔσῃ τοιαύτῃ ἀνὰ λόγον τὰ φυόμενα φύεσθαι, δένδρα τε καὶ ἄνθη, καὶ τοὺς καρπούς· καὶ αὖ τὰ ὄρη ὡσαύτως καὶ τοὺς λίθους ἔχειν ἀνὰ τὸν αὐτὸν λόγον τὴν τελειότητα καὶ τὴν διαφάνειαν, καὶ τὰ χρώματα καλλίω· ὧν καὶ τὰ ἐνθάδε λιθίδια εἶναι ταῦτα τὰ ἀγαπώμενα μόρια, σάρδιά τε καὶ ἰάσπιδας καὶ σμαράγδους, καὶ πάντα τὰ τοιαῦτα· ἐκεῖ δὲ οὐδὲν ὅ, τι οὐ τοιοῦτον εἶναι, καὶ ἔτι τούτων καλλίω. Τὸ δ' αἴτιον τούτου εἶναι, ὅτι ἐκεῖνοι οἱ λίθοι καθαροί εἰσι, καὶ οὐ κατεδηδεσμένοι, οὐδὲ διεφθαρμένοι, ὥσπερ οἱ ἐνθάδε, ὑπὸ σηπεδόνος καὶ ἅλμης, καὶ ὑπὸ τῶν δεῦρο ξυνεῤῥυηκότων, ἃ καὶ λίθοις καὶ γῇ καὶ τοῖς ἄλλοις ζώοις τε καὶ φυτοῖς αἴσχη τε καὶ νόσους παρέχει. Τὴν δὲ γῆν αὐτὴν κεκοσμῆσθαι τούτοις τε ἅπασι, καὶ ἔτι χρυσῷ τε καὶ ἀργύρῳ, καὶ τοῖς ἄλλοις αὖ τοῖς τοιούτοις. Ἐκφανῆ γὰρ αὐτὰ πεφυκέναι, ὄντα πολλὰ πλήθει καὶ

μεγάλα, καὶ πανταχοῦ τῆς γῆς· ὥστε αὐτὴν ἰδεῖν εἶναι θέαμα εὐδαιμόνων θεατῶν, ζῶα δ' ἐπ' αὐτῆς εἶναι ἄλλα τε πολλὰ καὶ ἀνθρώπους, τοὺς μὲν ἐν μεσογείᾳ οἰκοῦντας, τοὺς δὲ περὶ τὸν ἀέρα, ὥσπερ ἡμεῖς περὶ τὴν θάλατταν· τοὺς δὲ ἐν νήσοις, ἃς περιῤῥεῖν τὸν ἀέρα, πρὸς τῇ ἠπείρῳ οὔσας· καὶ ἑνὶ λόγῳ, ὅπερ ἡμῖν τὸ ὕδωρ τε καὶ ἡ θάλαττά ἐστι πρὸς τὴν ἡμετέραν χρείαν, τοῦτο ἐκεῖ τὸν ἀέρα· ὃ δὲ ἡμῖν ἀὴρ, τοῦτο ἐκείνοις τὸν αἰθέρα. Τὰς δὲ ὥρας αὐτοῖς κρᾶσιν ἔχειν τοιαύτην, ὥστε ἐκείνους ἀνόσους εἶναι, καὶ χρόνον τε ζῇν πολὺ πλείω τῶν ἐνθάδε, καὶ ὄψει καὶ ἀκοῇ καὶ φρονήσει καὶ πᾶσι τοῖς τοιούτοις ἡμῶν ἀφεστάναι τῇ αὐτῇ ἀποστάσει, ᾗπερ ἀήρ τε ὕδατος ἀφέστηκε, καὶ αἰθὴρ ἀέρος, πρὸς καθαρότητα.

Καὶ δὴ καὶ θεῶν ἄλση τε καὶ ἱερὰ αὐτοῖς εἶναι· ἐν οἷς τῷ ὄντι οἰκητὰς θεοὺς εἶναι, καὶ φήμας τε καὶ μαντείας καὶ αἰσθήσεις τῶν θεῶν, καὶ τοιαύτας ξυνουσίας γίγνεσθαι αὐτοῖς πρὸς αὐτούς· καὶ τόν γε ἥλιον καὶ σελήνην καὶ ἄστρα ὁρᾶσθαι ὑπ' αὐτῶν οἷα τυγχάνει ὄντα, καὶ τὴν ἄλλην εὐδαιμονίαν τούτων ἀκόλουθον εἶναι. Καὶ ὅλην μὲν

δὴ τὴν γῆν οὕτω πεφυκέναι, καὶ τὰ περὶ τὴν γῆν· τόπους δ' ἐν αὐτῇ εἶναι κατὰ τὰ ἔγκοιλα αὐτῆς, κύκλῳ περὶ ὅλην, πολλούς· τοὺς μὲν βαθυτέρους καὶ ἀναπεπταμένους μᾶλλον ἢ ἐν ᾧ ἡμεῖς οἰκοῦμεν· τοὺς δὲ βαθυτέρους ὄντας, τὸ χάσμα αὐτοὺς ἔλαττον ἔχειν τοῦ παρ' ἡμῖν τόπου. Ἔστι δ' οὓς καὶ βραχυτέρους τῷ βάθει τοῦ ἐνθάδε εἶναι καὶ πλατυτέρους. Τούτους δὲ πάντας ὑπὸ γῆν εἰς ἀλλήλους συντετρῆσθαί τε πολλαχῇ, καὶ κατὰ στενότερα καὶ εὐρύτερα, καὶ διεξόδους ἔχειν· ᾗ πολὺ μὲν ὕδωρ ῥεῖν ἐξ ἀλλήλων εἰς ἀλλήλους, ὥσπερ εἰς κρατῆρας, καὶ ἀενάων ποταμῶν ἀμήχανα μεγέθη ὑπὸ τὴν γῆν, καὶ θερμῶν ὑδάτων καὶ ψυχρῶν· πολὺ δὲ πῦρ, καὶ πυρὸς μεγάλους ποταμούς, πολλοὺς δὲ ὑγροῦ πηλοῦ, καὶ καθαρωτέρου καὶ βορβορωδεστέρου· ὥσπερ ἐν Σικελίᾳ οἱ πρὸ τοῦ ῥύακος πηλοῦ ῥέοντες ποταμοὶ καὶ αὐτὸς ὁ ῥύαξ· ὧν δὴ καὶ ἑκάστους τοὺς τόπους πληροῦσθαι, ὧν ἂν ἑκάστοις τύχῃ ἑκάστοτε ἡ περιῤῥοὴ γιγνομένη· ταῦτα δὲ πάντα κινεῖν ἄνω καὶ κάτω ὥσπερ αἰώραν τινὰ ἐνοῦσαν ἐν τῇ γῇ. Ἔστι δὲ ἄρα αὕτη ἡ αἰώρα διὰ φύσιν τοιάνδε τινά· ἕν τι τῶν χασμάτων τῆς γῆς ἄλλως τε μέγιστον τυγχάνει ὄν, καὶ δι-

αμπερὲς τετρημένον δι' ὅλης τῆς γῆς, τοῦτο ὅπερ Ὅμηρος εἶπε, λέγων αὐτό· «Τῆλε μάλ', ἧχι βάθιστον ὑπὸ χθονός ἐστι βέρεθρον.» Ὃ καὶ ἄλλοθι καὶ ἐκεῖνος καὶ ἄλλοι πολλοὶ τῶν ποιητῶν Τάρταρον κεκλήκασιν. Εἰς γὰρ τοῦτο τὸ χάσμα ξυῤῥέουσί τε πάντες οἱ ποταμοὶ, καὶ ἐκ τούτου πάλιν πάντες ἐκρέουσι. Γίγνονται δὲ ἕκαστοι τοιοῦτοι, δι' οἵας ἂν καὶ τῆς γῆς ῥέωσιν. Ἡ δ' αἰτία ἐστὶ τοῦ ἐκρεῖν τε ἐντεῦθεν καὶ εἰσρεῖν πάντα τὰ ῥεύματα, ὅτι πυθμένα οὐκ ἔχει οὐδὲ βάσιν τὸ ὑγρὸν τοῦτο. Αἰωρεῖται δὴ καὶ κυμαίνει ἄνω καὶ κάτω καὶ ὁ ἀὴρ καὶ τὸ πνεῦμα τὸ περὶ αὐτὸ ταὐτὸν ποιεῖ. Ξυνέπεται γὰρ αὐτῷ καὶ ὅταν εἰς τὸ ἐπέκεινα τῆς γῆς ὁρμήσῃ, καὶ ὅταν εἰς τὸ ἐπὶ τάδε. Καὶ ὥσπερ τῶν ἀναπνεόντων ἀεὶ ἐκπνεῖ τε καὶ ἀναπνεῖ ῥέον τὸ πνεῦμα, οὕτω καὶ ἐκεῖ ξυναιωρούμενον τῷ ὑγρῷ τὸ πνεῦμα δεινούς τινας ἀνέμους καὶ ἀμηχάνους παρέχεται, καὶ εἰσιὸν καὶ ἐξιόν. Ὅταν τε οὖν ὁρμῆσαν ὑποχωρήσῃ τὸ ὕδωρ εἰς τὸν τόπον τὸν δὴ κάτω καλούμενον, τοῖς κατ' ἐκεῖνα τὰ ῥεύματα διὰ τῆς γῆς εἰσρεῖ τε καὶ πληροῖ αὐτὰ, ὥσπερ οἱ ἐπαντλοῦντες· ὅταν τε αὖ ἐκεῖθεν μὲν ἀπολίπῃ, δεῦρο δὲ ὁρμήσῃ, τὰ ἐνθάδε πληροῖ αὖθις· τὰ δὲ

πληρωθέντα ῥεῖ διὰ τῶν ὀχετῶν καὶ διὰ τῆς γῆς, καὶ εἰς τοὺς τόπους ἕκαστα ἀφικνούμενα, εἰς οὓς ἕκαστος ὁδοποιεῖται, θαλάττας τε καὶ λίμνας καὶ ποταμοὺς καὶ κρήνας ποιεῖ. Ἐντεῦθεν δὲ πάλιν δυόμενα κατὰ τῆς γῆς, τὰ μὲν μακροτέρους τόπους περιελθόντα καὶ πλείους, τὰ δὲ ἐλάττους καὶ βραχυτέρους, πάλιν εἰς τὸν Τάρταρον ἐμβάλλει· τὰ μὲν πολὺ κακωτέρω ἢ ἐπηντλεῖτο, τὰ δὲ ὀλίγον· πάντα δὲ ὑποκάτω εἰσρεῖ τῆς ἐκροῆς. Καὶ ἔνια μὲν καταντικρὺ ᾗ εἰσρεῖ ἐξέπεσεν, ἔνια δὲ κατὰ τὸ αὐτὸ μέρος· ἔστι δὲ ἃ παντάπασι κύκλῳ περιελθόντα, ἢ ἅπαξ ἢ καὶ πλεονάκις περιελιχθέντα περὶ τὴν γῆν, ὥσπερ οἱ ὄφεις, εἰς τὸ δυνατὸν κάτω καθέντα, πάλιν ἐμβάλλει· δυνατὸν δ' ἐστιν ἑκατέρωσε μέχρι τοῦ μέσου καθιέναι, πέρα δ' οὔ. Ἄναντες γὰρ ἀμφοτέροις τοῖς ῥεύμασι τὸ ἑκατέρωθεν γίγνεται μέρος.

Τὰ μὲν οὖν δὴ ἄλλα πολλά τε καὶ μεγάλα καὶ παντοδαπὰ ῥεύματά ἐστι· τυγχάνει δ' ἄρα ὄντα ἐν τούτοις τοῖς πολλοῖς τέτταρ' ἄττα ῥεύματα, ὧν τὸ μὲν μέγιστον καὶ ἐξωτάτω ῥέον περὶ κύκλῳ ὁ καλούμενος Ὠκεανός ἐστι· τούτου δὲ καταντικρὺ καὶ ἐναντίως ῥέον, Ἀχέρων· ὃς δι' ἐρήμων τε

τόπων ῥεῖ ἄλλων, καὶ δὴ καὶ ὑπὸ γῆν ῥέον, εἰς τὴν λίμνην ἀφικνεῖται τὴν Ἀχερουσιάδα, οὗ αἱ τῶν τετελευτηκότων ψυχαὶ τῶν πολλῶν ἀφικνοῦνται· καί τινας εἱμαρμένους χρόνους μείνασαι, αἱ μὲν μακροτέρους, αἱ δὲ βραχυτέρους, πάλιν ἐκπέμπονται εἰς τὰς τῶν ζώων γενέσεις. Τρίτος δὲ ποταμὸς τούτων κατὰ μέσον ἐκβάλλει, καὶ ἐγγὺς τῆς ἐκβολῆς ἐκπίπτει εἰς τόπον μέγαν, πυρὶ πολλῷ καιόμενον, καὶ λίμνην ποιεῖ μείζω τῆς παρ' ἡμῖν θαλάττης, ζέουσαν ὕδατος καὶ πηλοῦ. Ἐντεῦθεν δὲ χωρεῖ κύκλῳ θολερὸς καὶ πηλώδης· περιελιττόμενος δὲ τῇ γῇ, ἄλλοσέ τε ἀφικνεῖται, καὶ παρ' ἔσχατα τῆς Ἀχερουσιάδος λίμνης, οὐ ξυμμιγνύμενος τῷ ὕδατι· περιελιχθεὶς δὲ πολλάκις ὑπὸ γῆς, ἐμβάλλει κατωτέρω τοῦ Ταρτάρου. Οὗτος δ' ἐστὶν ὃν ἔτι ἐπονομάζουσι Πυριφλεγέθοντα· οὗ καὶ οἱ ῥύακες ἀποσπάσματα ἀναφυσῶσιν, ὅπη ἂν τύχωσι τῆς γῆς. Τούτου δ' αὖ καταντικρὺ ὁ τέταρτος ἐκπίπτει εἰς τόπον πρῶτον δεινόν τε καὶ ἄγριον, ὡς λέγεται, χρῶμα δὲ ἔχοντα ὅλον οἷον ὁ κυανός· ὃν δὴ ἐπονομάζουσι Στύγιον, καὶ τὴν λίμνην ποιεῖ ὁ ποταμὸς ἐμβάλλων, Στύγα. Ὁ δ' ἐμπεσὼν ἐνταῦθα, καὶ δεινὰς δυνά-

μεις λαβὼν ἐν τῷ ὕδατι, δὺς κατὰ τῆς γῆς, περιελιττόμενος χωρεῖ ἐναντίως τῷ Πυριφλεγέθοντι, καὶ ἀπαντᾷ ἐν τῇ Ἀχερουσιάδι λίμνῃ ἐξ ἐναντίας· καὶ οὐδὲ τὸ τούτου ὕδωρ οὐδενὶ μίγνυται, ἀλλὰ καὶ οὗτος κύκλῳ περιελθὼν ἐμβάλλει εἰς τὸν Τάρταρον, ἐναντίως τῷ Πυριφλεγέθοντι. Ὄνομα δὲ τούτῳ ἐστὶν, ὡς οἱ ποιηταὶ φάσκουσι, Κωκυτός.

Τούτων δὲ οὕτω πεφυκότων, ἐπειδὰν ἀφίκωνται οἱ τετελευτηκότες εἰς τὸν τόπον οἷ ὁ δαίμων ἕκαστον κομίζει, πρῶτον μὲν διεδικάσαντο οἵ τε καλῶς καὶ ὁσίως (καὶ δικαίως) βιώσαντες, καὶ οἱ μή. Καὶ οἳ μὲν ἂν δόξωσι μέσως βεβιωκέναι, πορευθέντες ἐπὶ τὸν Ἀχέροντα, ἀναβάντες ἃ δὴ αὐτοῖς ὀχήματά ἐστιν, ἐπὶ τούτων ἀφικνοῦνται εἰς τὴν λίμνην· καὶ ἐκεῖ οἰκοῦσί τε, καὶ καθαιρόμενοι τῶν τε ἀδικημάτων διδόντες δίκας, ἀπολύονται, εἴ τίς τι ἠδίκησε, τῶν τε εὐεργεσιῶν τιμὰς φέρονται κατὰ τὴν ἀξίαν ἕκαστος. Οἳ δ' ἂν δόξωσιν ἀνιάτως ἔχειν διὰ τὰ μεγέθη τῶν ἁμαρτημάτων, ἢ ἱεροσυλίας πολλὰς καὶ μεγάλας, ἢ φόνους ἀδίκους καὶ παρανόμους πολλοὺς ἐξειργασμένοι, ἢ ἄλλα ὅσα τυγχάνει ὄντα τοιαῦτα, τούτους δὲ ἡ προσήκουσα μοῖρα ῥίπτει εἰς τὸν Τάρταρον, ὅθεν

οὔποτε ἐκβαίνουσιν· οἳ δ' ἂν ἰάσιμα μὲν, μεγάλα δὲ δόξωσιν ἡμαρτηκέναι ἁμαρτήματα, οἷον πρὸς πατέρα ἢ μητέρα ὑπ' ὀργῆς βίαιόν τι πράξαντες, καὶ μεταμέλον αὐτοῖς τὸν ἄλλον βίον βιῶσιν, ἢ ἀνδροφόνοι τοιούτῳ τινὶ ἄλλῳ τρόπῳ γένωνται, τούτους δὲ ἐμπεσεῖν μὲν εἰς τὸν Τάρταρον ἀνάγκη, ἐμπεσόντας δὲ αὐτοὺς καὶ ἐνιαυτὸν ἐκεῖ γενομένους, ἐκβάλλει τὸ κῦμα, τοὺς μὲν ἀνδροφόνους κατὰ τὸν Κωκυτὸν, τοὺς δὲ πατραλοίας καὶ μητραλοίας κατὰ τὸν Πυριφλεγέθοντα. Ἐπειδὰν δὲ φερόμενοι γένωνται κατὰ τὴν λίμνην Ἀχερουσιάδα, ἐνταῦθα βοῶσί τε καὶ καλοῦσιν, οἱ μὲν οὓς ἀπέκτειναν, οἱ δὲ οὓς ὕβρισαν· καλέσαντες δ' ἱκετεύουσι, καὶ δέονται ἐᾶσαι σφᾶς ἐκβῆναι εἰς τὴν λίμνην καὶ δέξασθαι. Καὶ ἐὰν μὲν πείσωσιν, ἀποβαίνουσί τε καὶ λήγουσι τῶν κακῶν· εἰ δὲ μὴ, φέρονται αὖθις εἰς τὸν Τάρταρον, καὶ ἐκεῖθεν πάλιν εἰς τοὺς ποταμούς· καὶ ταῦτα πάσχοντες οὐ πρότερον παύονται, πρὶν ἂν πείσωσιν οὓς ἠδίκησαν. Αὕτη γὰρ ἡ δίκη ὑπὸ τῶν δικαστῶν αὐτοῖς ἐτάχθη. Οἳ δὲ δὴ ἂν δόξωσι διαφερόντως πρὸς τὸ ὁσίως βιῶναι, οὗτοί εἰσιν οἱ τῶνδε μὲν τῶν τόπων τῶν ἐν τῇ γῇ ἐλευθερούμενοί τε καὶ ἀπαλ-

λαττόμενοι, ὥσπερ δεσμωτηρίων, ἄνω δὲ εἰς τὴν καθαρὰν οἴκησιν ἀφικνούμενοι, καὶ ἐπὶ τῆς γῆς οἰκιζόμενοι.

Τούτων δὲ αὐτῶν οἱ φιλοσοφίᾳ ἱκανῶς καθηράμενοι, ἄνευ τε σωμάτων ζῶσι τοπαράπαν εἰς τὸν ἔπειτα χρόνον, καὶ εἰς οἰκήσεις ἔτι τούτων καλλίους ἀφικνοῦνται· ἃς οὔτε ῥᾴδιον δηλῶσαι, οὔτε ὁ χρόνος ἱκανὸς ἐν τῷ παρόντι. Ἀλλὰ τούτων δὴ ἕνεκα χρὴ ὧν διεληλύθαμεν, ὦ Σιμμία, πάντα ποιεῖν, ὥστε ἀρετῆς καὶ φρονήσεως ἐν τῷ βίῳ μετασχεῖν. Καλὸν γὰρ τὸ ἆθλον, καὶ ἡ ἐλπὶς μεγάλη. Τὸ μὲν οὖν ταῦτα διϊσχυρίσασθαι οὕτως ἔχειν ὡς ἐγὼ διελήλυθα, οὐ πρέπει νοῦν ἔχοντι ἀνδρί. Ὅτι μέντοι ἢ ταῦτ' ἐστιν, ἢ τοιαῦτ' ἄττα, περὶ τὰς ψυχὰς ἡμῶν καὶ τὰς οἰκήσεις, ἐπείπερ ἀθάνατόν γε ἡ ψυχὴ φαίνεται οὖσα, τοῦτο καὶ πρέπειν ἐμοὶ δοκεῖ, καὶ ἄξιον κινδυνεῦσαι, οἰομένῳ οὕτως ἔχειν. Καλὸς γὰρ ὁ κίνδυνος, καὶ χρὴ τὰ τοιαῦτα ὥσπερ ἐπᾴδειν ἑαυτῷ.

Πλατ. Φαίδων.



THUCYDIDIS HISTORIA.

De Atheniensibus, qui in Peloponnesiaco bello primi mortem obierant, funebris oratio.

Ἐν δὲ τῷ αὐτῷ χειμῶνι οἱ Ἀθηναῖοι τῷ πατρίῳ νόμῳ χρώμενοι δημοσίᾳ ταφὰς ἐποιήσαντο τῶν ἐν τῷδε τῷ πολέμῳ πρῶτον ἀποθανόντων τρόπῳ τοιῷδε. Τὰ μὲν ὀστᾶ προτίθενται τῶν ἀπογενομένων πρότριτα σκηνὴν ποιήσαντες, καὶ ἐπιφέρει τῷ αὐτοῦ ἕκαστος ἤν τι βούλεται· ἐπειδὰν δὲ ἡ ἐκφορὰ ᾖ, λάρνακας κυπαρισσίνας ἄγουσιν ἅμαξαι, φυλῆς ἑκάστης μίαν· ἔνεστι δὲ τὰ ὀστᾶ ἧς ἕκαστος ἦν φυλῆς. Μία δὲ κλίνη κενὴ φέρεται ἐστρωμένη τῶν ἀφανῶν, οἳ ἂν μὴ εὑρεθῶσιν ἐς ἀναίρεσιν. Ξυνεκφέρει δὲ ὁ βουλόμενος καὶ ἀστῶν καὶ ξένων, καὶ γυναῖκες πάρεισιν αἱ προσήκουσαι ἐπὶ τὸν τάφον ὀλοφυρόμεναι. Τιθέασιν οὖν ἐς τὸ δημόσιον σῆμα, ὅ ἐστιν ἐπὶ τοῦ καλλίστου προαστείου τῆς πόλεως, καὶ ἀεὶ ἐν αὐτῷ θάπτουσι τοὺς ἐκ τῶν πολέμων, πλήν γε τοὺς ἐν Μαραθῶνι· ἐκείνων δὲ διαπρεπῆ τὴν ἀρετὴν κρίναντες αὐτοῦ καὶ τὸν τάφον ἐποίησαν. Ἐπειδὰν δὲ κρύψωσι

γῇ, ἀνὴρ ᾑρημένος ὑπὸ τῆς πόλεως, ὃς ἂν γνώμῃ τε δοκῇ μὴ ἀξύνετος εἶναι καὶ ἀξιώσει προήκῃ, λέγει ἐπ' αὐτοῖς ἔπαινον τὸν πρέποντα· μετὰ δὲ τοῦτο ἀπέρχονται. Ὧδε μὲν θάπτουσιν· καὶ διὰ παντὸς τοῦ πολέμου, ὁπότε ξυμβαίη αὐτοῖς, ἐχρῶντο τῷ νόμῳ. Ἐπὶ δ' οὖν τοῖς πρώτοις τοῖσδε Περικλῆς ὁ Ξανθίππου ᾑρέθη λέγειν. Καὶ ἐπειδὴ καιρὸν ἐλάμβανε, προελθὼν ἀπὸ τοῦ σήματος ἐπὶ βῆμα ὑψηλὸν πεποιημένον, ὅπως ἀκούοιτο ὡς ἐπὶ πλεῖστον τοῦ ὁμίλου ἔλεγε τοιάδε.

« Οἱ μὲν πολλοὶ τῶν ἐνθάδε εἰρηκότων ἤδη ἐπαινοῦσι τὸν προσθέντα τῷ νόμῳ τὸν λόγον τόνδε ὡς καλὸν ἐπὶ τοῖς ἐκ τῶν πολέμων θαπτομένοις ἀγορεύεσθαι αὐτόν· Ἐμοὶ δ' ἀρκοῦν ἂν ἐδόκει εἶναι ἀνδρῶν ἀγαθῶν ἔργῳ καὶ δηλοῦσθαι τὰς τιμὰς, οἷα καὶ νῦν περὶ τὸν τάφον τόνδε δημοσίᾳ παρασκευασθέντα ὁρᾶτε, καὶ μὴ ἐν ἑνὶ ἀνδρὶ πολλῶν ἀρετὰς κινδυνεύεσθαι εὖ τε καὶ χεῖρον εἰπόντι πιστευθῆναι. Χαλεπὸν γὰρ τὸ μετρίως εἰπεῖν ἐν ᾧ μόλις καὶ ἡ δόκησις τῆς ἀληθείας βεβαιοῦται. Ὅ τε γὰρ ξυνειδὼς καὶ εὔνους ἀκροατὴς τάχ' ἄν τι ἐνδεεστέρως πρὸς ἃ βούλεταί τε καὶ ἐπίσταται νομίσειε δηλοῦσθαι, ὅ τε ἄπειρος ἔστιν ἃ καὶ

πλεονάζεσθαι, διὰ φθόνον, εἴ τι ὑπὲρ τὴν ἑαυτοῦ φύσιν ἀκούοι. Μέχρι γὰρ τοῦδε ἀνεκτοὶ οἱ ἔπαινοί εἰσι περὶ ἑτέρων λεγόμενοι, ἐς ὅσον ἂν καὶ αὐτὸς ἕκαστος οἴηται ἱκανὸς εἶναι δρᾶσαί τι ὧν ἤκουσεν· τῷ δ' ὑπερβάλλοντι αὐτῶν φθονοῦντες ἤδη καὶ ἀπιστοῦσιν. Ἐπειδὴ δὲ τοῖς πάλαι οὕτως ἐδοκιμάσθη ταῦτα καλῶς ἔχειν, χρὴ καὶ ἐμὲ ἑπόμενον τῷ νόμῳ πειρᾶσθαι ὑμῶν τῆς ἑκάστου βουλήσεώς τε καὶ δόξης τυχεῖν ὡς ἐπὶ πλεῖστον.»

«Ἄρξομαι δ' ἀπὸ τῶν προγόνων πρῶτον· δίκαιον γὰρ αὐτοῖς καὶ πρέπον δὲ ἅμα ἐν τῷ τοιῷδε τὴν τιμὴν ταύτην τῆς μνήμης δίδοσθαι· τὴν γὰρ χώραν ἀεὶ οἱ αὐτοὶ οἰκοῦντες διαδοχῇ τῶν ἐπιγιγνομένων μέχρι τοῦδε ἐλευθέραν δι' ἀρετὴν παρέδοσαν. Καὶ ἐκεῖνοί τε ἄξιοι ἐπαίνου καὶ ἔτι μᾶλλον οἱ πατέρες ἡμῶν· κτησάμενοι γὰρ πρὸς οἷς ἐδέξαντο, ὅσην ἔχομεν ἀρχὴν, οὐκ ἀπόνως ἡμῖν τοῖς νῦν προσκατέλιπον. Τὰ δὲ πλείω αὐτῆς αὐτοὶ ἡμεῖς οἵδε οἱ νῦν ἔτι ὄντες μάλιστα ἐν τῇ καθεστηκυίᾳ ἡλικίᾳ ἐπηυξήσαμεν, καὶ τὴν πόλιν τοῖς πᾶσι παρεσκευάσαμεν καὶ ἐς πόλεμον καὶ ἐς εἰρήνην αὐταρκεστάτην. Ὧν ἐγὼ τὰ μὲν κατὰ πολέμους ἔργα, οἷς ἕκαστα ἐκτήθη, ἢ εἴ τι αὐτοὶ ἢ

οἱ πατέρες ἡμῶν βάρβαρον ἢ Ἕλληνα πόλεμον ἐπιόντα προθύμως ἠμυνάμεθα, μακρηγορεῖν ἐν εἰδόσιν οὐ βουλόμενος ἐάσω· ἀπὸ δὲ οἵας τε ἐπιτηδεύσεως ἤλθομεν ἐπ' αὐτὰ καὶ μεθ' οἵας πολιτείας καὶ τρόπων ἐξ οἵων μεγάλα ἐγένετο, ταῦτα δηλώσας πρῶτον εἶμι καὶ ἐπὶ τὸν τῶνδε ἔπαινον, νομίζων ἐπί τε τῷ παρόντι οὐκ ἂν ἀπρεπῆ λεχθῆναι αὐτὰ καὶ τὸν πάντα ὅμιλον καὶ ἀστῶν καὶ ξένων ξύμφορον εἶναι αὐτῶν ἐπακοῦσαι.»

«Χρώμεθα γὰρ πολιτείᾳ οὐ ζηλούσῃ τοὺς τῶν πέλας νόμους, παράδειγμα δὲ μᾶλλον αὐτοὶ ὄντες τινὶ ἢ μιμούμενοι ἑτέρους. Καὶ ὄνομα μὲν διὰ τὸ μὴ ἐς ὀλίγους ἀλλ' ἐς πλείονας οἰκεῖν δημοκρατία κέκληται· μέτεστι δὲ κατὰ μὲν τοὺς νόμους πρὸς τὰ ἴδια διάφορα πᾶσι τὸ ἴσον, κατὰ δὲ τὴν ἀξίωσιν, ὡς ἕκαστος ἔν τῳ εὐδοκιμεῖ, οὐκ ἀπὸ μέρους τὸ πλεῖον ἐς τὰ κοινὰ ἢ ἀπ' ἀρετῆς προτιμᾶται, οὐδ' αὖ κατὰ πενίαν, ἔχων δέ τι ἀγαθὸν δρᾶσαι τὴν πόλιν, ἀξιώματος ἀφανείᾳ κεκώλυται. Ἐλευθέρως δὲ τά τε πρὸς τὸ κοινὸν πολιτεύομεν καὶ ἐς τὴν πρὸς ἀλλήλους τῶν καθ' ἡμέραν ἐπιτηδευμάτων ὑποψίαν, οὐ δι' ὀργῆς τὸν πέλας, εἰ καθ' ἡδονήν τι δρᾷ, ἔχοντες, οὐδὲ ἀζη-

μίους μὲν λυπηρὰς δὲ τῇ ὄψει ἀχθηδόνας προστιθέμενοι. Ἀνεπαχθῶς δὲ τὰ ἴδια προσομιλοῦντες τὰ δημόσια διὰ δέος μάλιστα οὐ παρανομοῦμεν, τῶν τε ἀεὶ ἐν ἀρχῇ ὄντων ἀκροάσει καὶ τῶν νόμων καὶ μάλιστα αὐτῶν ὅσοι τε ἐπ' ὠφελίᾳ τῶν ἀδικουμένων κεῖνται καὶ ὅσοι ἄγραφοι ὄντες αἰσχύνην ὁμολογουμένην φέρουσιν. »

« Καὶ μὴν καὶ τῶν πόνων πλείστας ἀναπαύλας τῇ γνώμῃ ἐπορισάμεθα, ἀγῶσι μέν γε καὶ θυσίαις διετησίοις νομίζοντες, ἰδίαις δὲ κατασκευαῖς εὐπρεπέσιν, ὧν καθ' ἡμέραν ἡ τέρψις τὸ λυπηρὸν ἐκπλήσσει. Ἐπεισέρχεται δὲ διὰ μέγεθος τῆς πόλεως ἐκ πάσης γῆς τὰ πάντα, καὶ ξυμβαίνει ἡμῖν μηδὲν οἰκειοτέρα τῇ ἀπολαύσει τὰ αὐτοῦ ἀγαθὰ γιγνόμενα καρποῦσθαι ἢ καὶ τὰ τῶν ἄλλων ἀνθρώπων. »

« Διαφέρομεν δὲ καὶ ταῖς τῶν πολεμικῶν μελέταις τῶν ἐναντίων τοῖσδε. Τήν τε γὰρ πόλιν κοινὴν παρέχομεν, καὶ οὐκ ἔστιν ὅτε ξενηλασίαις ἀπείργομέν τινα ἢ μαθήματος ἢ θεάματος, ὃ μὴ κρυφθὲν ἄν τις τῶν πολεμίων ἰδὼν ὠφεληθείη, πιστεύοντες οὐ ταῖς παρασκευαῖς τὸ πλέον καὶ ἀπάταις ἢ τῷ ἀφ' ἡμῶν αὐτῶν ἐς τὰ ἔργα εὐψύχῳ·

καὶ ἐν ταῖς παιδείαις οἱ μὲν ἐπιπόνῳ ἀσκήσει εὐθὺς νέοι ὄντες τὸ ἀνδρεῖον μετέρχονται, ἡμεῖς δὲ ἀνειμένως διαιτώμενοι οὐδὲν ἧσσον ἐπὶ τοὺς ἰσοπαλεῖς κινδύνους χωροῦμεν· Τεκμήριον δέ· οὔτε γὰρ Λακεδαιμόνιοι καθ' ἑκάστους, μετὰ πάντων δ' ἐς τὴν γῆν ἡμῶν στρατεύουσιν, τήν τε τῶν πέλας αὐτοὶ ἐπελθόντες οὐ χαλεπῶς ἐν τῇ ἀλλοτρίᾳ τοὺς περὶ τῶν οἰκείων ἀμυνομένους μαχόμενοι τὰ πλείω κρατοῦμεν. Ἀθρόᾳ τε τῇ δυνάμει ἡμῶν οὐδείς πω πολέμιος ἐνέτυχε διὰ τὴν τοῦ ναυτικοῦ τε ἅμα ἐπιμέλειαν καὶ τὴν ἐν τῇ γῇ ἐπὶ πολλὰ ἡμῶν αὐτῶν ἐπίπεμψιν· ἢν δέ που μορίῳ τινὶ προσμίξωσιν, κρατήσαντές τέ τινας ἡμῶν πάντας αὐχοῦσιν ἀπεῶσθαι καὶ νικηθέντες ὑφ' ἁπάντων ἡσσῆσθαι. Καίτοι εἰ ῥᾳθυμίᾳ μᾶλλον ἢ πόνων μελέτῃ καὶ μὴ μετὰ νόμων τὸ πλεῖον ἢ τρόπων ἀνδρίας ἐθέλομεν κινδυνεύειν, περιγίγνεται ἡμῖν τοῖς τε μέλλουσιν ἀλγεινοῖς μὴ προκάμνειν, καὶ ἐς αὐτὰ ἐλθοῦσι μὴ ἀτολμοτέρους τῶν ἀεὶ μοχθούντων φαίνεσθαι, καὶ ἔν τε τούτοις τὴν πόλιν ἀξίαν εἶναι θαυμάζεσθαι καὶ ἔτι ἐν ἄλλοις. »

« Φιλοκαλοῦμεν γὰρ μετ' εὐτελείας καὶ φιλοσοφοῦμεν ἄνευ μαλακίας, πλούτῳ τε ἔργου μᾶλλον

καιρῷ ἢ λόγου κόμπῳ χρώμεθα, καὶ τὸ πένεσθαι οὐχ ὁμολογεῖν τινὶ αἰσχρὸν, ἀλλὰ μὴ διαφεύγειν ἔργῳ αἴσχιον. Ἔνι τε τοῖς αὐτοῖς οἰκείων ἅμα καὶ πολιτικῶν ἐπιμέλεια, καὶ ἑτέροις πρὸς ἔργα τετραμμένοις τὰ πολιτικὰ μὴ ἐνδεῶς γνῶναι. μόνοι γὰρ τόν τε μηδὲν τῶνδε μετέχοντα οὐκ ἀπράγμονα ἀλλ' ἀχρεῖον νομίζομεν, καὶ αὐτοὶ ἤτοι κρίνομέν γε ἢ ἐνθυμούμεθα ὀρθῶς τὰ πράγματα, οὐ τοὺς λόγους τοῖς ἔργοις βλάβην ἡγούμενοι, ἀλλὰ μὴ προδιδαχθῆναι μᾶλλον λόγῳ πρότερον ἢ ἐπὶ ἃ δεῖ ἔργῳ ἐλθεῖν. Διαφερόντως γὰρ δὴ καὶ τόδε ἔχομεν ὥστε τολμᾶν τε οἱ αὐτοὶ μάλιστα καὶ περὶ ὧν ἐπιχειρήσομεν ἐκλογίζεσθαι· ὃ τοῖς ἄλλοις ἀμαθία μὲν θράσος, λογισμὸς δὲ ὄκνον φέρει. Κράτιστοι δ' ἂν τὴν ψυχὴν δικαίως κριθεῖεν οἱ τά τε δεινὰ καὶ ἡδέα σαφέστατα γιγνώσκοντες καὶ διὰ ταῦτα μὴ ἀποτρεπόμενοι ἐκ τῶν κινδύνων. Καὶ τὰ ἐς ἀρετὴν ἠναντιώμεθα τοῖς πολλοῖς· οὐ γὰρ πάσχοντες εὖ ἀλλὰ δρῶντες κτώμεθα τοὺς φίλους. Βεβαιότερος δὲ ὁ δράσας τὴν χάριν ὥστε ὀφειλομένην δι' εὐνοίας ᾧ δέδωκε σώζειν· ὁ δ' ἀντοφείλων ἀμβλύτερος. εἰδὼς οὐκ ἐς χάριν ἀλλ' ἐς ὀφείλημα τὴν ἀρετὴν ἀποδώσων. Καὶ μόνοι οὐ

τοῦ ξυμφέροντος μᾶλλον λογισμῷ ἢ τῆς ἐλευθερίας τῷ πιστῷ ἀδεῶς τινὰ ὠφελοῦμεν. »

« Ξυνελών τε λέγω τήν τε πᾶσαν πόλιν τῆς Ἑλλάδος παίδευσιν εἶναι, καὶ καθ' ἕκαστον δοκεῖν ἄν μοι τὸν αὐτὸν ἄνδρα παρ' ἡμῶν ἐπὶ πλεῖστ' ἂν εἴδη καὶ μετὰ χαρίτων μάλιστ' ἂν εὐτραπέλως τὸ σῶμα αὔταρκες παρέχεσθαι. Καὶ ὡς οὐ λόγων ἐν τῷ παρόντι κόμπος τάδε μᾶλλον ἢ ἔργων ἐστὶν ἀλήθεια, αὐτὴ ἡ δύναμις τῆς πόλεως, ἣν ἀπὸ τῶνδε τῶν τρόπων ἐκτησάμεθα, σημαίνει. Μόνη γὰρ τῶν νῦν ἀκοῆς κρείσσων ἐς πεῖραν ἔρχεται, καὶ μόνη οὔτε τῷ πολεμίῳ ἐπελθόντι ἀγανάκτησιν ἔχει ὑφ' οἵων κακοπαθεῖ, οὔτε τῷ ὑπηκόῳ κατάμεμψιν ὡς οὐχ ὑπ' ἀξίων ἄρχεται. Μετὰ μεγάλων δὲ σημείων καὶ οὐ δή τοι ἀμάρτυρόν γε τὴν δύναμιν παρασχόμενοι τοῖς τε νῦν καὶ τοῖς ἔπειτα θαυμασθησόμεθα, καὶ οὐδὲν προσδεόμενοι οὔτε Ὁμήρου ἐπαινέτου οὔτε ὅστις ἔπεσι μὲν τὸ αὐτίκα τέρψει, τῶν δ' ἔργων τὴν ὑπόνοιαν ἡ ἀλήθεια βλάψει, ἀλλὰ πᾶσαν μὲν θάλασσαν καὶ γῆν ἐσβατὸν τῇ ἡμετέρᾳ τόλμῃ καταναγκάσαντες γενέσθαι, πανταχοῦ δὲ μνημεῖα κακῶν τε κἀγαθῶν ἀΐδια ξυγκατοικίσαντες. Περὶ τοιαύτης οὖν πόλεως

οἵδε τε γενναίως, δικαιοῦντες μὴ ἀφαιρεθῆναι αὐτήν, μαχόμενοι ἐτελεύτησαν, καὶ τῶν λειπομένων πάντα τινὰ εἰκὸς ἐθέλειν ὑπὲρ αὐτῆς κάμνειν.»

«Διὸ δὴ καὶ ἐμήκυνα τὰ περὶ τῆς πόλεως, διδασκαλίαν τε ποιούμενος μὴ περὶ ἴσου ἡμῖν εἶναι τὸν ἀγῶνα καὶ οἷς μηδὲν ὑπάρχει ὁμοίως, καὶ τὴν εὐλογίαν ἅμα ἐφ' οἷς νῦν λέγω φανερὰν σημείοις καθιστάς. Καὶ εἴρηται αὐτῆς τὰ μέγιστα· ἃ γὰρ τὴν πόλιν ὕμνησα, αἱ τῶνδε καὶ τῶν τοιῶνδε ἀρεταὶ ἐκόσμησαν, καὶ οὐκ ἂν πολλοῖς τῶν Ἑλλήνων ἰσόῤῥοπος ὥσπερ τῶνδε ὁ λόγος τῶν ἔργων φανείη. Δοκεῖ δὲ δηλοῦν ἀνδρὸς ἀρετὴν πρώτη τε μηνύουσα καὶ τελευταία βεβαιοῦσα ἡ νῦν τῶνδε καταστροφή. Καὶ γὰρ τοῖς τἄλλα χείροσι δίκαιον τὴν ἐς τοὺς πολέμους ὑπὲρ τῆς πατρίδος ἀνδραγαθίαν προτίθεσθαι· ἀγαθῷ γὰρ κακὸν ἀφανίσαντες κοινῶς μᾶλλον ὠφέλησαν ἢ ἐκ τῶν ἰδίων ἔβλαψαν. Τῶνδε δὲ οὔτε πλούτου τις τὴν ἔτι ἀπόλαυσιν προτιμήσας ἐμαλακίσθη, οὔτε πενίας ἐλπίδι, ὡς κἂν ἔτι διαφυγὼν αὐτὴν πλουτήσειεν, ἀναβολὴν τοῦ δεινοῦ ἐποιήσατο· τὴν δὲ τῶν ἐναντίων τιμωρίαν ποθεινοτέραν αὐτῶν λαβόντες, καὶ

κινδύνων ἅμα τόνδε κάλλιστον νομίσαντες, ἐβουλήθησαν μετ' αὐτοῦ τοὺς μὲν τιμωρεῖσθαι τῶν δὲ ἐφίεσθαι, ἐλπίδι μὲν τὸ ἀφανὲς τοῦ κατορθώσειν ἐπιτρέψαντες, ἔργῳ δὲ περὶ τοῦ ἤδη ὁρωμένου σφίσιν αὐτοῖς ἀξιοῦντες πεποιθέναι, καὶ ἐν αὐτῷ τὸ ἀμύνεσθαι καὶ παθεῖν μᾶλλον ἡγησάμενοι ἢ τὸ ἐνδόντες σώζεσθαι, τὸ μὲν αἰσχρὸν τοῦ λόγου ἔφυγον, τὸ δ' ἔργον τῷ σώματι ὑπέμειναν, καὶ δι' ἐλαχίστου καιροῦ τύχης ἅμα ἀκμῇ τῆς δόξης μᾶλλον ἢ τοῦ δέους ἀπηλλάγησαν. »

« Καὶ οἵδε μὲν προσηκόντως τῇ πόλει τοιοίδε ἐγένοντο· τοὺς δὲ λοιποὺς χρὴ ἀσφαλεστέραν μὲν εὔχεσθαι, ἀτολμοτέραν δὲ μηδὲν ἀξιοῦν τὴν ἐς τοὺς πολεμίους διάνοιαν ἔχειν, σκοποῦντας μὴ λόγῳ μόνῳ τὴν ὠφελίαν, ἣν ἄν τις πρὸς οὐδὲν χεῖρον αὐτοὺς ὑμᾶς εἰδότας μηκύνοι, λέγων ὅσα ἐν τῷ τοὺς πολεμίους ἀμύνεσθαι ἀγαθὰ ἔνεστιν, ἀλλὰ μᾶλλον τὴν τῆς πόλεως δύναμιν καθ' ἡμέραν ἔργῳ θεωμένους καὶ ἐραστὰς γιγνομένους αὐτῆς, καὶ ὅταν ὑμῖν μεγάλη δόξῃ εἶναι, ἐνθυμουμένους ὅτι τολμῶντες καὶ γιγνώσκοντες τὰ δέοντα καὶ ἐν τοῖς ἔργοις αἰσχυνόμενοι ἄνδρες αὐτὰ ἐκτήσαντο, καὶ ὁπότε καὶ πείρᾳ του σφαλείησαν, οὔκουν καὶ

τὴν πόλιν γε τῆς σφετέρας ἀρετῆς ἀξιοῦντες στερίσκειν, κάλλιστον δὲ ἔρανον αὐτῇ προϊέμενοι. Κοινῇ γὰρ τὰ σώματα διδόντες ἰδίᾳ τὸν ἀγήρων ἔπαινον ἐλάμβανον καὶ τὸν τάφον ἐπισημότατον, οὐκ ἐν ᾧ κεῖνται μᾶλλον, ἀλλ' ἐν ᾧ ἡ δόξα αὐτῶν παρὰ τῷ ἐντυχόντι ἀεὶ καὶ λόγου καὶ ἔργου καιρῷ ἀείμνηστος καταλείπεται. Ἀνδρῶν γὰρ ἐπιφανῶν πᾶσα γῆ τάφος, καὶ οὐ στηλῶν μόνον ἐν τῇ οἰκείᾳ σημαίνει ἐπιγραφὴ, ἀλλὰ καὶ ἐν τῇ μὴ προσηκούσῃ ἄγραφος μνήμη παρ' ἑκάστῳ τῆς γνώμης μᾶλλον ἢ τοῦ ἔργου ἐνδιαιτᾶται. Οὓς νῦν ὑμεῖς ζηλώσαντες, καὶ τὸ εὔδαιμον τὸ ἐλεύθερον τὸ δ' ἐλεύθερον τὸ εὔψυχον κρίναντες, μὴ περιορᾶσθε τοὺς πολεμικοὺς κινδύνους. Οὐ γὰρ οἱ κακοπραγοῦντες δικαιότερον ἀφειδοῖεν ἂν τοῦ βίου, οἷς ἐλπὶς οὐκ ἔστ' ἀγαθοῦ, ἀλλ' οἷς ἡ ἐναντία μεταβολὴ ἐν τῷ ζῆν ἔτι κινδυνεύεται καὶ ἐν οἷς μάλιστα μεγάλα τὰ διαφέροντα, ἤν τι πταίσωσιν. Ἀλγεινοτέρα γὰρ ἀνδρί γε φρόνημα ἔχοντι ἡ ἐν τῷ μετὰ τοῦ μαλακισθῆναι κάκωσις ἢ ὁ μετὰ ῥώμης καὶ κοινῆς ἐλπίδος ἅμα γιγνόμενος ἀναίσθητος θάνατος. Διόπερ καὶ τοὺς τῶνδε νῦν τοκέας, ὅσοι πάρεστε, οὐκ ὀλοφύρομαι μᾶλλον ἢ παραμυθήσομαι.

Ἐν πολυτρόποις γὰρ ξυμφοραῖς ἐπίστανται τραφέντες· τὸ δ' εὐτυχὲς, οἳ ἂν τῆς εὐπρεπεστάτης λάχωσιν, ὥσπερ οἵδε μὲν νῦν τελευτῆς, ὑμεῖς δὲ λύπης, καὶ οἷς ἐνευδαιμονῆσαί τε ὁ βίος ὁμοίως καὶ ἐντελευτῆσαι ξυνεμετρήθη. Χαλεπὸν μὲν οὖν οἶδα πείθειν ὄν, ὧν καὶ πολλάκις ἕξετε ὑπομνήματα ἐν ἄλλων εὐτυχίαις, αἷς ποτὲ καὶ αὐτοὶ ἠγάλλεσθε· καὶ λύπη οὐχ ὧν ἄν τις μὴ πειρασάμενος ἀγαθῶν στερίσκηται, ἀλλ' οὗ ἂν ἐθὰς γενόμενος ἀφαιρεθῇ. Καρτερεῖν δὲ χρὴ καὶ ἄλλων παίδων ἐλπίδι, οἷς ἔτι ἡλικία τέκνωσιν ποιεῖσθαι· ἰδίᾳ γάρ τε τῶν οὐκ ὄντων λήθη οἱ ἐπιγιγνόμενοί τισιν ἔσονται, καὶ τῇ πόλει διχόθεν, ἔκ τε τοῦ μὴ ἐρημοῦσθαι καὶ ἀσφαλείᾳ, ξυνοίσει· οὐ γὰρ οἷόν τε ἴσον τι ἢ δίκαιον βουλεύεσθαι οἳ ἂν μὴ καὶ παῖδας ἐκ τοῦ ὁμοίου παραβαλλόμενοι κινδυνεύωσιν. Ὅσοι δ' αὖ παρηβήκατε, τόν τε πλείονα κέρδος ὃν εὐτυχεῖτε βίον ἡγεῖσθε καὶ τόνδε βραχὺν ἔσεσθαι, καὶ τῇ τῶνδε εὐκλείᾳ κουφίζεσθε. Τὸ γὰρ φιλότιμον ἀγήρων μόνον, καὶ οὐκ ἐν τῷ ἀχρείῳ τῆς ἡλικίας τὸ κερδαίνειν, ὥσπερ τινές φασι, μᾶλλον τέρπει, ἀλλὰ τὸ τιμᾶσθαι. »

« Παισὶ δ' αὖ ὅσοι τῶνδε πάρεστε ἢ ἀδελφοῖς

ὁρῶ μέγαν τὸν ἀγῶνα· τὸν γὰρ οὐκ ὄντα ἅπας εἴωθεν ἐπαινεῖν, καὶ μόλις ἂν καθ' ὑπερβολὴν ἀρετῆς οὐχ ὁμοῖοι ἀλλ' ὀλίγῳ χείρους κριθείητε. Φθόνος γὰρ τοῖς ζῶσι πρὸς τὸ ἀντίπαλον, τὸ δὲ μὴ ἐμποδὼν ἀνανταγωνίστῳ εὐνοίᾳ τετίμηται. Εἰ δέ με δεῖ καὶ γυναικείας τι ἀρετῆς, ὅσαι νῦν ἐν χηρείᾳ ἔσονται, μνησθῆναι, βραχείᾳ παραινέσει ἅπαν σημανῶ. Τῆς τε γὰρ ὑπαρχούσης φύσεως μὴ χείροσι γενέσθαι ὑμῖν μεγάλη ἡ δόξα, καὶ ἧς ἂν ἐπ' ἐλάχιστον ἀρετῆς πέρι ἢ ψόγου ἐν τοῖς ἄρσεσι κλέος ᾖ.»

« Εἴρηται καὶ ἐμοὶ λόγῳ κατὰ τὸν νόμον ὅσα εἶχον πρόσφορα, καὶ ἔργῳ οἱ θαπτόμενοι τὰ μὲν ἤδη κεκόσμηνται, τὰ δὲ αὐτῶν τοὺς παῖδας τὸ ἀπὸ τοῦδε δημοσίᾳ ἡ πόλις μέχρι ἥβης θρέψει, ὠφέλιμον στέφανον τοῖσδέ τε καὶ τοῖς λειπομένοις τῶν τοιῶνδε ἀγώνων προτιθεῖσα· ἆθλα γὰρ οἷς κεῖται ἀρετῆς μέγιστα, τοῖς δὲ καὶ ἄνδρες ἄριστοι πολιτεύουσιν. Νῦν δὲ ἀπολοφυράμενοι ὃν προσήκει ἕκαστος ἄπιτε. »

Τοιόσδε μὲν ὁ τάφος ἐγένετο ἐν τῷ χειμῶνι τούτῳ· καὶ διελθόντος αὐτοῦ πρῶτον ἔτος τοῦ πολέμου τοῦδε ἐτελεύτα.

Pestilens morbus Athenis ingruit.

Τοῦ δὲ θέρους εὐθὺς ἀρχομένου Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι, τὰ δύο μέρη, ὥσπερ καὶ τὸ πρῶτον, ἐσέβαλον ἐς τὴν Ἀττικήν· ἡγεῖτο δὲ Ἀρχίδαμος ὁ Ζευξιδάμου Λακεδαιμονίων βασιλεύς. Καὶ καθεζόμενοι ἐδῄουν τὴν γῆν. Καὶ ὄντων αὐτῶν οὐ πολλάς πω ἡμέρας ἐν τῇ Ἀττικῇ ἡ νόσος πρῶτον ἤρξατο γενέσθαι τοῖς Ἀθηναίοις, λεγόμενον μὲν καὶ πρότερον πολλαχόσε ἐγκατασκῆψαι καὶ περὶ Λῆμνον καὶ ἐν ἄλλοις χωρίοις, οὐ μέντοι τοσοῦτός γε λοιμὸς οὐδὲ φθορὰ οὕτως ἀνθρώπων οὐδαμοῦ ἐμνημονεύετο γενέσθαι. Οὔτε γὰρ ἰατροὶ ἤρκουν τὸ πρῶτον θεραπεύοντες ἀγνοίᾳ, ἀλλ' αὐτοὶ μάλιστα ἔθνησκον ὅσῳ καὶ μάλιστα προσῄεσαν, οὔτε ἄλλη ἀνθρωπεία τέχνη οὐδεμία· ὅσα τε πρὸς ἱεροῖς ἱκέτευσαν ἢ μαντείαις καὶ τοῖς τοιούτοις ἐχρήσαντο, πάντα ἀνωφελῆ ἦν, τελευτῶντές τε αὐτῶν ἀπέστησαν ὑπὸ τοῦ κακοῦ νικώμενοι.

Ἤρξατο δὲ τὸ μὲν πρῶτον, ὡς λέγεται, ἐξ Αἰθιοπίας τῆς ὑπὲρ Αἰγύπτου, ἔπειτα δὲ καὶ ἐς Αἴγυπτον καὶ Λιβύην κατέβη καὶ ἐς τὴν βασιλέως

γῆν τὴν πολλήν. Ἐς δὲ τὴν Ἀθηναίων πόλιν ἐξαπιναίως ἐνέπεσεν, καὶ τὸ πρῶτον ἐν τῷ Πειραιεῖ ἥψατο τῶν ἀνθρώπων, ὥστε καὶ ἐλέχθη ὑπ' αὐτῶν ὡς οἱ Πελοποννήσιοι φάρμακα ἐσβεβλήκοιεν ἐς τὰ φρέατα· κρῆναι γὰρ οὔπω ἦσαν αὐτόθι. Ὕστερον δὲ καὶ ἐς τὴν ἄνω πόλιν ἀφίκετο, καὶ ἔθνησκον πολλῷ μᾶλλον ἤδη. Λεγέτω μὲν οὖν περὶ αὐτοῦ ὡς ἕκαστος γιγνώσκει καὶ ἰατρὸς καὶ ἰδιώτης, ἀφ' ὅτου εἰκὸς ἦν γενέσθαι αὐτὸ, καὶ τὰς αἰτίας ἅστινας νομίζει τοσαύτης μεταβολῆς ἱκανὰς εἶναι δύναμιν ἐς τὸ μεταστῆσαι σχεῖν· ἐγὼ δὲ οἷόν τε ἐγίγνετο λέξω, καὶ ἀφ' ὧν ἄν τις σκοπῶν, εἴ ποτε καὶ αὖθις ἐπιπέσοι, μάλιστ' ἂν ἔχοι τι προειδὼς μὴ ἀγνοεῖν, ταῦτα δηλώσω αὐτός τε νοσήσας καὶ αὐτὸς ἰδὼν ἄλλους πάσχοντας.

Τὸ μὲν γὰρ ἔτος, ὡς ὡμολογεῖτο, ἐκ πάντων μάλιστα δὴ ἐκεῖνο ἄνοσον ἐς τὰς ἄλλας ἀσθενείας ἐτύγχανεν ὄν· εἰ δέ τις καὶ προέκαμνέ τι, ἐς τοῦτο πάντα ἀπεκρίθη. Τοὺς δ' ἄλλους ἀπ' οὐδεμιᾶς προφάσεως ἀλλ' ἐξαίφνης ὑγιεῖς ὄντας πρῶτον μὲν τῆς κεφαλῆς θέρμαι ἰσχυραὶ καὶ τῶν ὀφθαλμῶν ἐρυθήματα καὶ φλόγωσις ἐλάμβανεν, καὶ τὰ ἐντὸς, ἥ τε φάρυγξ καὶ ἡ γλῶσσα, εὐθὺς αἱματώδη

ἦν καὶ πνεῦμα ἄτοπον καὶ δυσῶδες ἠφίει· ἔπειτα ἐξ αὐτῶν πταρμὸς καὶ βράγχος ἐπεγίγνετο, καὶ ἐν οὐ πολλῷ χρόνῳ κατέβαινεν ἐς τὰ στήθη ὁ πόνος μετὰ βηχὸς ἰσχυροῦ· καὶ ὁπότε ἐς τὴν καρδίαν στηρίξαι, ἀνέστρεφέ τε αὐτὴν καὶ ἀποκαθάρσεις χολῆς πᾶσαι ὅσαι ὑπὸ ἰατρῶν ὠνομασμέναι εἰσὶν ἐπῄεσαν, καὶ αὗται μετὰ ταλαιπωρίας μεγάλης. Λύγξ τε τοῖς πλείοσιν ἐνέπιπτε κενὴ, σπασμὸν ἐνδιδοῦσα ἰσχυρὸν, τοῖς μὲν μετὰ ταῦτα λωφήσαντα, τοῖς δὲ καὶ πολλῷ ὕστερον. Καὶ τὸ μὲν ἔξωθεν ἁπτομένῳ σῶμα οὔτ' ἄγαν θερμὸν ἦν οὔτε χλωρὸν, ἀλλ' ὑπέρυθρον, πελιτνὸν, φλυκταίναις μικραῖς καὶ ἕλκεσιν ἐξηνθηκός· τὰ δὲ ἐντὸς οὕτως ἐκάετο ὥστε μήτε τῶν πάνυ λεπτῶν ἱματίων καὶ σινδόνων τὰς ἐπιβολὰς μηδ' ἄλλο τι ἢ γυμνοὶ ἀνέχεσθαι, ἥδιστά τε ἂν ἐς ὕδωρ ψυχρὸν σφᾶς αὐτοὺς ῥίπτειν. Καὶ πολλοὶ τοῦτο τῶν ἠμελημένων ἀνθρώπων καὶ ἔδρασαν ἐς φρέατα, τῇ δίψῃ ἀπαύστῳ ξυνεχόμενοι· καὶ ἐν τῷ ὁμοίῳ καθειστήκει τό τε πλέον καὶ ἔλασσον ποτόν. Καὶ ἡ ἀπορία τοῦ μὴ ἡσυχάζειν καὶ ἡ ἀγρυπνία ἐπέκειτο διὰ παντός. Καὶ τὸ σῶμα, ὅσονπερ χρόνον καὶ ἡ νόσος ἀκμάζοι, οὐκ ἐμαραίνετο ἀλλ' ἀντεῖχε παρὰ δόξαν

τῇ ταλαιπωρίᾳ, ὥστε ἢ διεφθείροντο οἱ πλεῖστοι ἐναταῖοι καὶ ἑβδομαῖοι ὑπὸ τοῦ ἐντὸς καύματος, ἔτι ἔχοντές τι δυνάμεως, ἢ εἰ διαφύγοιεν, ἐπικατιόντος τοῦ νοσήματος ἐς τὴν κοιλίαν καὶ ἑλκώσεώς τε αὐτῇ ἰσχυρᾶς ἐγγιγνομένης καὶ διαῤῥοίας ἅμα ἀκράτου ἐπιπιπτούσης οἱ πολλοὶ ὕστερον δι' αὐτὴν ἀσθενείᾳ ἀπεφθείροντο. Διεξῄει γὰρ διὰ παντὸς τοῦ σώματος ἄνωθεν ἀρξάμενον τὸ ἐν τῇ κεφαλῇ πρῶτον ἱδρυθὲν κακὸν, καὶ εἴ τις ἐκ τῶν μεγίστων περιγένοιτο, τῶν γε ἀκρωτηρίων ἀντίληψις αὐτοῦ ἐπεσήμαινεν· κατέσκηπτε γὰρ ἐς αἰδοῖα καὶ ἐς ἄκρας χεῖρας καὶ πόδας, καὶ πολλοὶ στερισκόμενοι τούτων διέφευγον, εἰσὶ δ' οἳ καὶ τῶν ὀφθαλμῶν. Τοὺς δὲ καὶ λήθη ἐλάμβανε παραυτίκα ἀναστάντας τῶν πάντων ὁμοίως, καὶ ἠγνόησαν σφᾶς τε αὐτοὺς καὶ τοὺς ἐπιτηδείους.

Γενόμενον γὰρ κρεῖσσον λόγου τὸ εἶδος τῆς νόσου τά τε ἄλλα χαλεπωτέρως ἢ κατὰ τὴν ἀνθρωπείαν φύσιν προσέπιπτεν ἑκάστῳ, καὶ ἐν τῷδε ἐδήλωσε μάλιστα ἄλλο τι ὂν ἢ τῶν ξυντρόφων τι· τὰ γὰρ ὄρνεα καὶ τετράποδα ὅσα ἀνθρώπων ἅπτεται, πολλῶν ἀτάφων γιγνομένων ἢ οὐ προσῄει ἢ γευσάμενα διεφθείρετο.



Τεκμήριον δὲ τῶν μὲν τοιούτων ὀρνίθων ἐπίλειψις σαφὴς ἐγένετο, καὶ οὐχ ἑωρῶντο οὔτε ἄλλως οὔτε περὶ τοιοῦτον οὐδέν· οἱ δὲ κύνες μᾶλλον αἴσθησιν παρεῖχον τοῦ ἀποβαίνοντος διὰ τὸ ξυνδιαιτᾶσθαι. Τὸ μὲν οὖν νόσημα, πολλὰ καὶ ἄλλα παραλιπόντι ἀτοπίας, ὡς ἑκάστῳ ἐτύγχανέ τι διαφερόντως ἑτέρῳ πρὸς ἕτερον γιγνόμενον, τοιοῦτον ἦν ἐπὶ πᾶν τὴν ἰδέαν. Καὶ ἄλλο παρελύπει κατ' ἐκεῖνον τὸν χρόνον οὐδὲν τῶν εἰωθότων· ὃ δὲ καὶ γένοιτο, ἐς τοῦτο ἐτελεύτα. Ἔθνησκον δὲ οἱ μὲν ἀμελείᾳ, οἱ δὲ καὶ πάνυ θεραπευόμενοι. Ἕν τε οὐδὲ ἓν κατέστη ἴαμα ὡς εἰπεῖν ὅ τι χρῆν προσφέροντας ὠφελεῖν· τὸ γὰρ τῷ ξυνενεγκὸν ἄλλον τοῦτο ἔβλαπτεν. Σῶμά τε αὔταρκες ὂν οὐδὲν διεφάνη πρὸς αὐτὸ ἰσχύος πέρι ἢ ἀσθενείας, ἀλλὰ πάντα ξυνῄρει καὶ τὰ πάσῃ διαίτῃ θεραπευόμενα. Δεινότατον δὲ παντὸς ἦν τοῦ κακοῦ ἥ τε ἀθυμία ὁπότε τις αἴσθοιτο κάμνων (πρὸς γὰρ τὸ ἀνέλπιστον εὐθὺς τραπόμενοι τῇ γνώμῃ πολλῷ μᾶλλον προΐεντο σφᾶς αὐτοὺς καὶ οὐκ ἀντεῖχον), καὶ ὅτι ἕτερος ἀφ' ἑτέρου θεραπείας ἀναπιμπλάμενοι ὥσπερ τὰ πρόβατα ἔθνησκον· καὶ τὸν πλεῖστον φθόρον τοῦτο ἐνεποίει. Εἴτε γὰρ μὴ θέλοιεν δεδιότες

ἀλλήλοις προσιέναι, ἀπώλλυντο ἐρῆμοι, καὶ οἰκίαι πολλαὶ ἐκενώθησαν ἀπορίᾳ τοῦ θεραπεύσοντος· εἴτε προσίοιεν, διεφθείροντο, καὶ μάλιστα οἱ ἀρετῆς τι μεταποιούμενοι· αἰσχύνῃ γὰρ ἠφείδουν σφῶν αὐτῶν, ἐσιόντες παρὰ τοὺς φίλους, ἐπεὶ καὶ τὰς ὀλοφύρσεις τῶν ἀπογιγνομένων τελευτῶντες καὶ οἱ οἰκεῖοι ἐξέκαμνον, ὑπὸ τοῦ πολλοῦ κακοῦ νικώμενοι. Ἐπὶ πλέον δ' ὅμως οἱ διαπεφευγότες τόν τε θνήσκοντα καὶ τὸν πονούμενον ᾠκτίζοντο διὰ τὸ προειδέναι τε καὶ αὐτοὶ ἤδη ἐν τῷ θαρσαλέῳ εἶναι· δὶς γὰρ τὸν αὐτὸν, ὥστε καὶ κτείνειν, οὐκ ἐπελάμβανεν. Καὶ ἐμακαρίζοντό τε ὑπὸ τῶν ἄλλων, καὶ αὐτοὶ τῷ παραχρῆμα περιχαρεῖ καὶ ἐς τὸν ἔπειτα χρόνον ἐλπίδος τι εἶχον κούφης μηδ' ἂν ὑπ' ἄλλου νοσήματός ποτε ἔτι διαφθαρῆναι.

Ἐπίεσε δ' αὐτοὺς μᾶλλον πρὸς τῷ ὑπάρχοντι πόνῳ καὶ ἡ ξυγκομιδὴ ἐκ τῶν ἀγρῶν ἐς τὸ ἄστυ, καὶ οὐχ ἧσσον τοὺς ἐπελθόντας. Οἰκιῶν γὰρ οὐχ ὑπαρχουσῶν, ἀλλ' ἐν καλύβαις πνιγηραῖς ὥρᾳ ἔτους διαιτωμένων ὁ φθόρος ἐγίγνετο οὐδενὶ κόσμῳ· ἀλλὰ καὶ νεκροὶ ἀπ' ἀλλήλοις ἀποθνήσκοντες ἔκειντο, καὶ ἐν ταῖς ὁδοῖς ἐκαλινδοῦντο καὶ περὶ τὰς κρήνας ἁπάσας ἡμιθνῆτες τοῦ ὕδατος ἐπιθυμίᾳ.

Τά τε ἱερὰ ἐν οἷς ἐσκήνηντο νεκρῶν πλέα ἦν, αὐτοῦ ἐναποθνησκόντων· ὑπερβιαζομένου γὰρ τοῦ κακοῦ οἱ ἄνθρωποι οὐκ ἔχοντες ὅ τι γένωνται, ἐς ὀλιγωρίαν ἐτράποντο καὶ ἱερῶν καὶ ὁσίων ὁμοίως. Νόμοι τε πάντες συνεταράχθησαν οἷς ἐχρῶντο πρότερον περὶ τὰς ταφάς, ἔθαπτον δὲ ὡς ἕκαστος ἐδύνατο. Καὶ πολλοὶ ἐς ἀναισχύντους θήκας ἐτράποντο σπάνει τῶν ἐπιτηδείων διὰ τὸ συχνοὺς ἤδη προτεθνάναι σφίσιν· ἐπὶ πυρὰς γὰρ ἀλλοτρίας φθάσαντες τοὺς νήσαντας οἱ μὲν ἐπιθέντες τὸν ἑαυτῶν νεκρὸν ὑφῆπτον, οἱ δὲ καιομένου ἄλλου ἄνωθεν ἐπιβαλόντες ὃν φέροιεν ἀπῄεσαν.


Πρῶτόν τε ἦρξε καὶ ἐς τἆλλα τῇ πόλει ἐπὶ πλέον ἀνομίας τὸ νόσημα. Ῥᾷον γὰρ ἐτόλμα τις ἃ πρότερον ἀπεκρύπτετο μὴ καθ' ἡδονὴν ποιεῖν, ἀγχίστροφον τὴν μεταβολὴν ὁρῶντες τῶν τ' εὐδαιμόνων καὶ αἰφνιδίως θνησκόντων καὶ τῶν οὐδὲν πρότερον κεκτημένων, εὐθὺς δὲ τἀκείνων ἐχόντων. Ὥστε ταχείας τὰς ἐπαυρέσεις καὶ πρὸς τὸ τερπνὸν ἠξίουν ποιεῖσθαι, ἐφήμερα τά τε σώματα καὶ τὰ χρήματα ὁμοίως ἡγούμενοι. Καὶ τὸ μὲν προσταλαιπωρεῖν τῷ δόξαντι καλῷ οὐδεὶς πρόθυμος ἦν, ἄδηλον νομίζων εἰ πρὶν ἐπ' αὐτὸ ἐλθεῖν·

διαφθαρήσεται· ὅ τι δὲ ἤδη τε ἡδὺ καὶ πανταχόθεν τὸ ἐς αὐτὸ κερδαλέον, τοῦτο καὶ καλὸν καὶ χρήσιμον κατέστη. Θεῶν δὲ φόβος ἢ ἀνθρώπων νόμος οὐδεὶς ἀπεῖργεν, τὸ μὲν κρίνοντες ἐν ὁμοίῳ καὶ σέβειν καὶ μὴ ἐκ τοῦ πάντας ὁρᾶν ἐν ἴσῳ ἀπολλυμένους, τῶν δὲ ἁμαρτημάτων οὐδεὶς ἐλπίζων μέχρι τοῦ δίκην γενέσθαι βιοὺς ἂν τὴν τιμωρίαν ἀντιδοῦναι, πολὺ δὲ μείζω τὴν ἤδη κατεψηφισμένην σφῶν ἐπικρεμασθῆναι, ἣν πρὶν ἐμπεσεῖν εἰκὸς εἶναι τοῦ βίου τι ἀπολαῦσαι.

Τοιούτῳ μὲν πάθει οἱ Ἀθηναῖοι περιπεσόντες ἐπιέζοντο, ἀνθρώπων τ' ἔνδον θνησκόντων καὶ γῆς ἔξω δῃουμένης. Ἐν δὲ τῷ κακῷ, οἷα εἰκὸς, ἀνεμνήσθησαν καὶ τοῦδὲ τοῦ ἔπους, φάσκοντες οἱ πρεσβύτεροι πάλαι ᾄδεσθαι, «ἥξει Δωριακὸς πόλεμος, καὶ λοιμὸς ἅμ' αὐτῷ.» Ἐγένετο μὲν οὖν ἔρις τοῖς ἀνθρώποις μὴ λοιμὸν ὠνομάσθαι ἐν τῷ ἔπει ὑπὸ τῶν παλαιῶν ἀλλὰ λιμόν· ἐνίκησε δὲ ἐπὶ τοῦ παρόντος εἰκότως λοιμὸν εἰρῆσθαι· οἱ γὰρ ἄνθρωποι πρὸς ἃ ἔπασχον τὴν μνήμην ἐποιοῦντο. Ἢν δέ γε οἶμαί ποτε ἄλλος πόλεμος καταλάβῃ Δωρικὸς τοῦδε ὕστερος καὶ ξυμβῇ γενέσθαι λιμὸν, κατὰ τὸ εἰκὸς οὕτως ᾄσονται. Μνήμη δὲ ἐγένετο

καὶ τοῦ Λακεδαιμονίων χρηστηρίου τοῖς εἰδόσιν, ὅτε ἐπερωτῶσιν αὐτοῖς τὸν θεὸν εἰ χρὴ πολεμεῖν ἀνεῖλε κατὰ κράτος πολεμοῦσι νίκην ἔσεσθαι, καὶ αὐτὸς ἔφη ξυλλήψεσθαι. Περὶ μὲν οὖν τοῦ χρηστηρίου τὰ γιγνόμενα ἤκαζον ὁμοῖα εἶναι, ἐσβεβληκότων δὲ τῶν Πελοποννησίων ἡ νόσος ἤρξατο εὐθύς. Καὶ ἐς μὲν Πελοπόννησον οὐκ ἐσῆλθεν, ὅ τι ἄξιον καὶ εἰπεῖν, ἐπενείματο δὲ Ἀθήνας μὲν μάλιστα, ἔπειτα δὲ καὶ τῶν ἄλλων χωρίων τὰ πολυανθρωπότατα. Ταῦτα μὲν τὰ κατὰ τὴν νόσον γενόμενα.

Θουκιδίδου Βιβλίον β'.



HIPPOCRATES
de Aere, Aquis, et Locis.

Ἰητρικὴν, ὅστις βούλεται ὀρθῶς ζητεῖν, τάδε χρὴ ποίεειν. Πρῶτον μὲν ἐνθυμέεσθαι τὰς ὥρας τοῦ ἔτεος, ὅ τι δύναται ἀπεργάζεσθαι ἑκάστη· οὐ γὰρ ἐοίκασιν οὐθὲν, ἀλλὰ πολὺ διαφέρουσιν αὗται τὲ ἑωυτῶν, καὶ ἐν τῇσι μεταβολῇσιν. Ἔπειτα δὲ, τὰ πνεύματα, τὰ θερμά τε, καὶ τὰ ψυχρὰ, μάλιστα μὲν, τὰ κοινὰ πᾶσιν ἀνθρώποισιν. Ἔπειτα δὲ, καὶ ἐν ἑκάστῃ χώρῃ ἐπιχώρια ἐόντα. Δεῖ δὲ καὶ τῶν ὑδάτων ἐνθυμέεσθαι τὰς δυνάμιας· ὥσπερ γὰρ ἐν τῷ στόματι διαφέρουσιν, καὶ ἐν τῷ σταθμῷ, οὕτω καὶ ἡ δύναμις διαφέρει πολὺ ἑκάστου· ὥστε ἐς πόλιν ἐπειδὰν ἀφίκηταί τις, ἧς ἄπειρός ἐστι, διαφροντίσαι χρὴ τὴν θέσιν αὐτέης, ὅκως κέεται, καὶ πρὸς τὰ πνεύματα, καὶ πρὸς τὰς ἀνατολὰς τοῦ ἡλίου. Οὐ γὰρ τωὐτὸ δύναται, ἥτις πρὸς βορέην κέεται, καὶ ἥτις πρὸς νότον· οὐδ᾽ ἥτις πρὸς ἥλιον ἀνίσχοντα· οὐδ᾽ ἥτις πρὸς δύνοντα. Ταῦτα δὲ ἐνθυμέεσθαι ὡς κάλλιστα· καὶ τῶν ὑδάτων πέρι, ὡς ἔχουσιν, καὶ πότερον ἑλώδεσι

χρέονται καὶ μαλακοῖσιν, ἢ σκληροῖσί τε καὶ ἐκ μετεώρων, καὶ ἐκ πετρωδέων· εἴτε ἁλυκοῖσι, καὶ ἀτεράμνοισιν. Καὶ τὴν γῆν, πότερον ψιλή τε, καὶ ἄνυδρος, ἢ δασεῖα καὶ ἔφυδρος, καὶ εἴτε ἐν κοίλῳ ἐστὶ, καὶ πνιγηρὴ. εἴτε μετέωρος, καὶ ψυχρή.

Καὶ τὴν δίαιταν τῶν ἀνθρώπων ὁκοίῃ ἥδονται· πότερον φιλοπόται, καὶ ἀριστηταὶ, καὶ ἀταλαίπωροι, ἢ φιλογυμνασταί τε καὶ φιλόπονοι, καὶ ἐδωδοὶ, καὶ ἄποτοι. Καὶ ἀπὸ τουτέων χρὴ ἐνθυμέεσθαι ἕκαστα, εἰ γὰρ ταῦτα εἰδείη τὶς καλῶς, μάλιστα μὲν πάντα, εἰ δὲ μὴ, τάγε πλεῖστα, οὐκ ἂν αὐτὸν λανθάνοι ἐς πόλιν ἀφικνεόμενον, ἧς ἂν ἄπειρος ᾖ, οὔτε νοσήματα ἐπιχώρια, οὔτε τῶν κοινῶν ἡ φύσις ὁκοίη τίς ἐστιν. Ὥστε μὴ ἀπορέεσθαι ἐν τῇ θεραπείῃ τῶν νούσων, μὴ δὲ διαμαρτάνειν, ἃ εἰκός ἐστι γίγνεσθαι, ἢν μήτις ταῦτα πρότερον εἰδὼς προφρώντις ᾖ.

Περὶ ἑκάστου δὲ χρόνου προσιόντος, καὶ τοῦ ἐνιαυτοῦ λέγοι ἂν, ὁκόσα τε νοσήματα μέλλει πάγκοινα τὴν πόλιν κατασχήσειν, ἢ θερέος ἢ χειμῶνος· ὁκόσα τε ἴδια ἑκάστῳ κίνδυνος γίγνεσθαι, ἐκ μεταβολῆς τῆς διαίτης. Εἰδὼς γὰρ τῶν ὡρέων τὰς μεταβολὰς, καὶ τῶν ἄστρων ἐπιτολάς, τε

καὶ δύσιας, καθότι ἕκαστον τουτέων γίγνεται, προειδέιη ἂν τὸ ἔετος, ὁκοῖόν τι μέλλει γίγνεσθαι· οὕτως ἄν τις ἐρευνώμενος καὶ προγινώσκων τοὺς καιροὺς, μάλιστ᾽ ἂν εἰδέιη περὶ ἑκάστου, καὶ τὰ πλεῖστα τυγχάνει τῆς ὑγιέιης, καὶ κατ᾽ ὀρθὸν φέροιτο οὐκ ἐλάχιστα ἐν τῇ τέχνῃ. Εἰ δὲ δοκέοι τὶς ταῦτα μετεωρόλογα εἶναι, εἰ μεταστάιη τῆς γνώμης, μάθοι ἂν ὅτι οὐκ ἐλάχιστον μέρος συμβάλλεται Ἀστρονομίη ἐς ἰητρικὴν, ἀλλὰ πάνυ πλεῖστον· ἅμα γὰρ τῇσιν ὥρῃσιν καὶ αἱ κοιλίαι μεταβάλλουσιν τοῖσιν ἀνθρώποισιν.

Ὅκως δὲ χρὴ ἕκαστα τῶν προειρημένων σκοπεῖν καὶ βασανίζειν, ἐγὼ φράσω σαφέως. Ἥτις μὲν πόλις πρὸς τὰ πνεύματα κεῖται τὰ θερμὰ, (ταῦτα δ᾽ ἔσται μεταξὺ τῆς τε χειμερινῆς ἀνατολῆς τοῦ ἡλίου, καὶ τῶν δυσμέων τῶν χειμερινῶν) καὶ αὐτέῃ ταῦτα τὰ πνεύματά ἐστι ξύννομα· τῶν δὲ ἀπὸ τῶν ἄρκτων πνευμάτων σκέπη, ἐν ταύτῃ τῇ πόλει ἐστὶ τά τε ὕδατα πολλὰ, καὶ ὕφαλα, καὶ ἀνάγκη εἶναι μὴ μετέωρα, τοῦ μὲν θερέος, θερμὰ, τοῦ δὲ χειμῶνος, ψυχρά. Καὶ ὁκόσαι μὲν τῶν πόλεων κέονταί γε καλῶς τοῦ ἡλίου καὶ τῶν

πνευμάτων, ὕδασί τε χρῶνται ἀγαθοῖσιν, αὗται μὲν ἧσσον αἰσθάνονται τῶν τοιούτων μεταβολέων. Ὁκόσαι δὲ ὕδασί τε ἐλείοισι χρέονται, καὶ λιμνώδεσιν, κεῖνταί τε μὴ καλῶς τῶν πνευμάτων καὶ τοῦ ἡλίου, αὗται δὲ μᾶλλον. Κῆν μὲν τὸ θέρος αὐχμηρὸν γένηται, θᾶσσον παύονται αἱ νοῦσοι. Ἢν δὲ ἔπομβρον, πολυχρόνιοι γίνονται, καὶ φαγεδαίνας εἰκὸς ἐγγίνεσθαι ἀπὸ πάσης προφάσιος, ἣν ἕλκος ἐγγένηται. Τοῦ δὲ χειμῶνος ψυχροῦ, τούς τε ἀνθρώπους τὰς κεφαλὰς ὑγρὰς ἔχειν, καὶ φλεγματώδεας· τάς τε κοιλίας αὐτέων πυκνὰ ἐκταράσσεσθαι, ἀπὸ τῆς κεφαλῆς τοῦ φλέγματος ἐπικαταῤῥέοντος· τά τε εἴδεα ἐπὶ τὸ πλῆθος αὐτέων ἀτονώτερα εἶναι· ἐσθίειν δ' οὐκ ἀγαθοὺς εἶναι, οὐδὲ πίνειν. Ὁκόσοι μὲν γὰρ κεφαλὰς ἀσθενέας ἔχουσιν, οὐκ ἂν εἴησαν ἀγαθοὶ πίνειν· ἡ γὰρ κραιπάλη μᾶλλον πιέζει.

Νοσήματά τε τάδε ἐπιχώρια εἶναι. Πρῶτον μὲν τὰς γυναῖκας νοσερὰς καὶ ῥοώδεας εἶναι· ἔπειτα πολλὰς ἀτόκους ὑπὸ νόσου, καὶ οὐ φύσει, ἐκτιτρώσκεσθαί τε πυκνά. Τοῖσί τε παιδίοισιν ἐπιπίπτειν σπασμοὺς καὶ ἄσθματα, ἃ νομίζουσιν τὸ παιδίον πονέειν, καὶ ἱερὴν νοῦσον εἶναι. Τοῖσι δὲ

ἀνδράσιν δυσεντερίας, καὶ διαῤῥοίας, καὶ ἠπιάλους, καὶ πυρετοὺς πολυχρονίους χειμερινοὺς, καὶ ἐπινυκτίδας πολλὰς, καὶ αἱμοῤῥοίδας ἐν τῇ ἕδρῃ· πλευρίτιδες δὲ, καὶ περιπνευμονίαι, καὶ καῦσοι, καὶ ὁκόσα ὀξέα νοσήματα νομίζονται, οὐκ ἐγγίνονται πολλά· οὐ γὰρ οἷόν τε, ὅκου ἂν κοιλίαι ὑγραὶ ἐῶσι, τὰς νούσους ταύτας ἰσχύειν. Ὀφθαλμίαι τὲ ἐγγίνονται ὑγραὶ, καὶ οὐ χαλεπαὶ, ὀλιγοχρόνιοι, ἢν μή τι κατάσχῃ νοσήμα πάγκοινον ἐκ μεταβολῆς. Καὶ ὁκόταν τὰ πεντήκοντα ἔτεα ὑπερβάλλωσι, κατάῤῥοι ἐπιγενόμενοι ἐκ τοῦ ἐγκεφάλου, παραπληκτικοὺς ποιέουσι τοὺς ἀνθρώπους, ὁκόταν ἐξαίφνης ἡλιωθέωσι τὴν κεφαλὴν, ἢ ῥιγώσωσι. Ταῦτα μὲν τὰ νοσήματα αὐτέοισιν ἐπιχώριά ἐστιν. Χωρὶς δὲ ἤν τι πάγκοινον κατάσχῃ νοσήμα ἐκ μεταβολῆς τῶν ὡρέων, καὶ τουτέου μετέχουσιν. Ὁκόσαι δ' ἀντικέονται τουτέων πρὸς τὰ πνεύματα τὰ ψυχρὰ, μεταξὺ τῶν δυσμῶν τῶν θερινῶν τοῦ ἡλίου, καὶ τῆς ἀνατολῆς τῆς θερινῆς, καὶ αὐτῇσι ταῦτα τὰ πνεύματα ἐπιχώριά ἐστιν, τοῦ δὲ νότου καὶ τῶν θερινῶν πνευμάτων σκέπη, ὧδε ἔχει περὶ τῶν πόλεων τουτέων.

Πρῶτον μὲν τὰ ὕδατα τὰ σκληρά τε καὶ ψυχρὰ

ὡς ἐπὶ τὸ πλῆθος γλυκαίνεται, τοὺς δὲ ἀνθρώπους ἐντόνους τὲ καὶ σκελιφροὺς ἀνάγκη εἶναι· τούς τε πλείους τὰς κοιλίας ἀτεράμνους ἔχειν καὶ σκληρὰς τὰς κάτω, τὰς δὲ ἄνω εὐροωτέρας· χολώδεάς τε μᾶλλον ἢ φλεγματίας εἶναι. Τὰς δὲ κεφαλὰς ὑγιηρὰς ἔχουσι καὶ σκληράς. Ῥηγματίαι τε εἰσὶν ἐπὶ τὸ πλῆθος. Νοσεύματα δὲ αὐτέοισιν ἐπιδημεῖται πλευρίτιδές τε πολλαὶ, αἵ τε ὀξεῖαι νομιζόμεναι νοῦσοι. Ἀνάγκη δὲ ὧδε ἔχειν, ὁκόταν κοιλίαι σκληραὶ ἐῶσιν. Ἔμπυοί τε πολλοὶ γίνονται ἀπὸ πάσης προφάσιος. Τουτέου δὲ αἴτιόν ἐστι τοῦ σώματος ἡ ἔντασις, καὶ ἡ σκληρότης τῆς κοιλίης. Ἡ γὰρ ξηρότης ῥηγματίας ποιέει εἶναι, καὶ τοῦ ὕδατος ἡ ψυχρότης. Ἐδωδοὺς δὲ ἀνάγκη τὰς τοιαύτας φύσιας εἶναι, καὶ οὐ πολυπότας· οὐ γὰρ οἷόν τε ἅμα πολυβόρους τε εἶναι καὶ πολυπότας. Ὀφθαλμίας τε γίγνεσθαι μὲν διαχρόνους, γίγνεσθαι δὲ σκληρὰς καὶ ἰσχυρὰς, καὶ εὐθέως ῥήγνυσθαι τὰ ὄμματα. Αἱμοῤῥοίας δὲ ἐκ τῶν ῥινέων τοῖσι νεωτέροισι τριήκοντα ἐτέων γίγνεσθαι ἰσχυρὰς τοῦ θέρεος· τά τε ἱερὰ νοσεύματα καλεύμενα, ὀλίγα μὲν ταῦτα, ἰσχυρὰ δέ. Μακροβίους δὲ τοὺς ἀνθρώπους τουτέους μᾶλλον εἰκὸς εἶναι ἑτέρων·

τάτε ἕλκεα οὐ φλεγματώδεα ἐγγίγνεσθαι, οὐ δὲ ἀγριοῦσθαι. Τάτε ἤθεα ἀγριώτερα, ἢ ἡμερώτερα. Τοῖσι μὲν ἀνδράσι τὰ νοσήματα ἐπιχώριά ἐστιν· καὶ χωρὶς ἤν τι πάγκοινον κατάσχῃ ἐκ μεταβολῆς τῶν ὡρέων. Τῇσι δὲ γυναιξὶ, πρῶτον μὲν στρυφναὶ πολλαὶ γίγνονται διὰ τὰ ὕδατα ὄντα σκληρά τε καὶ ἀτέραμνα, καὶ ψυχρά. Αἱ γὰρ καθάρσιες οὐκ ἐπιγίνονται τῶν ἐπιμηνίων ἐπιτήδειαι, ἀλλὰ ὀλίγαι καὶ πονηραί· ἔπειτα τίκτουσι χαλεπῶς, ἐκτιτρώσκουσί τε οὐ σφόδρα. Ὁκόταν δὲ τέκωσι, τὰ παιδία ἀδύνατοι τρέφειν εἰσί· τὸ γὰρ γάλα ἀποσβέννυται ἀπὸ τῶν ὑδάτων τῆς σκληρότητος καὶ ἀτεραμνίης. Φθίσιές τε γίνονται συχναὶ ἀπὸ τῶν τοκετῶν· ὑπὸ γὰρ βίης ῥήγματα ἴσχουσι καὶ σπάσματα. Τοῖς δὲ παιδίοισιν ὕδρωπες ἐγγίνονται ἐν τοῖσιν ὄρχεσιν, ἕως μικρὰ ᾖ· ἔπειτα προϊούσης τῆς ἡλικίης ἀφανίζονται. Ἡβῶσι τε ὀψὲ ἐν ταύτῃ τῇ πόλει. Περὶ μὲν οὖν τῶν θερμῶν πνευμάτων, καὶ τῶν ψυχρῶν, καὶ τῶν πόλεων τουτέων, ὧδε ἔχει, ὡς προείρηται.

Ὁκόσαι δὲ κέονται πρὸς τὰ πνεύματα μεταξὺ τῶν θερινῶν ἀνατολέων τοῦ ἡλίου, καὶ τῶν χειμερινῶν καὶ ὁκόσαι τὸ ἐναντίον τουτέων, ὧδε ἔχει

περὶ αὐτέων. Ὁκόσαι μὲν πρὸς τὰς ἀνατολὰς τοῦ ἡλίου κέονται, ταύτας εἰκὸς εἶναι ὑγιεινοτέρας τῶν πρὸς τὰς ἄρκτους ἐστραμμένων, καὶ τῶν πρὸς τὰ θερμὰ, ἢν καὶ στάδιον τὸ μεταξὺ ᾖ. Πρότερον μὲν γὰρ μετριώτερον ἔχει τὸ θερμὸν καὶ τὸ ψυχρόν. Ἔπειτα τὰ ὕδατα, ὁκόσα πρὸς τὰς τοῦ ἡλίου ἀνατολάς ἐστιν, πάντα λαμπρά τε εἶναι ἀνάγκη καὶ εὐώδη καὶ μαλακὰ, καὶ ἐρατεινὰ ἐγγίγνεσθαι ἐν ταύτῃ τῇ πόλει. Ὁ γὰρ ἥλιος κωλύει ἀνίσχων καὶ καταλάμπων· τὸ γὰρ ἑωθινὸν ἑκάστοτε αὐτὸς ὁ ἠὴρ κατέχει, ὡς ἐπὶ τὸ πολύ. Τά τε εἴδεα τῶν ἀνθρώπων, εὔχροά τε καὶ ἀνθηρά ἐστι μᾶλλον, ἢν μή τις νοῦσος ἄλλη κωλύῃ· λαμπρόφωνοί τε οἱ ἄνθρωποι. Ὀργήν τε καὶ ξύνεσιν βελτίους εἰσὶν τῶν πρὸς βορέην, εἴπερ καὶ τὰ ἄλλα τὰ ἐμφυόμενα ἀμείνω ἐστὶν. Ἔοικέ τε μάλιστα ἡ οὕτω κειμένη πόλις ἦρι κατὰ τὴν μετριότητα τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ. Τά τε νοσεύματα ἐλάσσω μὲν γίνεται καὶ ἀσθενέστερα· ἔοικε δὲ τοῖς ἐν ταῖς πόλεσιν γενομένοις νοσεύμασι ταῖς πρὸς τὰ θερμὰ τὰ πνεύματα ἐστραμμένῃσιν· αἵ τε γυναῖκες αὐτόθι ἐναρικύμονες εἰσὶ σφόδρα, καὶ τίκτουσι ῥηϊδίως. Περὶ μὲν τουτέων ὧδε ἔχει.

Ὁκόσαι δὲ πρὸς τὰς δύσιας κεῖνται, καὶ αὐτέῃσιν ἔστι σκέπη τῶν πνευμάτων τῶν ἀπὸ τῆς ἠοῦς πνεόντων, τά τε θερμὰ πνεύματα παραῤῥεῖ καὶ τὰ ψυχρὰ ἀπὸ τῶν ἄρκτων, ἀνάγκη ταύτας τὰς πόλιας θέσιν κέεσθαι νοσερωτάτην. Πρῶτον μὲν γὰρ τὰ ὕδατα οὐ λαμπρά· αἴτιον δὲ, ὅτι ὁ ἠὴρ τὸ ἑωθινὸν κατέχει, ὡς ἐπὶ τὸ πολὺ, ὅστις τῷ ὕδατι ἐγκαταμιγνύμενος, τὸ λαμπρὸν ἀφανίζει. Ὁ γὰρ ἥλιος, πρὶν ἄνω ἀρθῆναι, οὐκ ἐπιλάμπει· τοῦ δὲ θέρεος ἕωθεν μὲν αὖραι ψυχραὶ πνέουσι, καὶ δρόσοι πίπτουσι. Τὸ δὲ λοιπὸν ἥλιος ἐγκαταδύνων, ὥστε μάλιστα διέψει τοὺς ἀνθρώπους. Διὸ καὶ ἀχρόους τε εἰκὸς εἶναι, καὶ ἀῤῥωστούς· τῶν τε νοσευμάτων πάντων μετέχειν, μέρος τῶν προειρημένων οὐδὲν αὐτέοις ἀποκέκριται· βαρυφώνους τε εἰκὸς εἶναι, καὶ βραγχώδεας διὰ τὸν ἠέρα, ὅτι ἀκάθαρτος ὡς ἐπὶ τὸ πουλὺ αὐτόθι γίγνεται, καὶ νοσώδης· οὔτε γὰρ ὑπὸ τῶν βορείων ἐκκρίνεται σφόδρα· οὐ γὰρ προσέχουσι τὰ πνεύματα. Ἅ τε προσέχουσιν, αὐτέοισι καὶ προσκεῖνται, ὑδατεινότατά ἐστιν· ἐπεὶ τὰ ἐπὶ τῆς ἑσπέρης πνεύματα ἔοικεν τῷ μεθοπώρῳ μάλιστα. Ἡ θέσις ἡ τοιαύτη τῆς πόλιος κατὰ τάς τε ἡμέ-

ρης μεταβολὰς, ὅτι πολὺ τὸ μέσον γίγνεται τοῦ τε ἑωθινοῦ καὶ τοῦ πρὸς τὴν δείλην. Περὶ μὲν πνευμάτων, ἅ τε ἐστὶν ἐπιτήδεια καὶ ἀνεπιτήδεια, ὧδε ἔχει.

Ἱπποκράτης περὶ Ἀέρων, Ὑδάτων, Τόπων.

BABYLONIS, CLARISSIMÆ URBIS, situs magnitudo et descriptio.

Τῆς δὲ Ἀσσυρίης ἐστὶ μέν κου καὶ ἄλλα πολίσματα μεγάλα πολλὰ, τὸ δὲ οὐνομαστότατον καὶ ἰσχυρότατον, ἔνθα σφι τῆς Νίνου ἀναστάτου γενομένης τὰ βασιλήϊα κατεστήκεε, ἦν Βαβυλὼν, ἐοῦσα τοιαύτη δή τις πόλις. Κέεται ἐν πεδίῳ μεγάλῳ, μέγαθος ἐοῦσα μέτωπον ἕκαστον εἴκοσι καὶ ἑκατὸν σταδίων ἐούσης τετραγώνου· οὗτοι στάδιοι τῆς περιόδου τῆς πόλιος γίνονται συνάπαντες ὀγδώκοντα καὶ τετρακόσιοι. Τὸ μέν νυν μέγαθος τοσοῦτόν ἐστι τοῦ ἄστεος τοῦ Βαβυλωνίου, ἐκεκόσμητο δὲ ὡς οὐδὲν ἄλλο πόλισμα τῶν ἡμεῖς ἴδμεν. Τάφρος μὲν πρῶτά μιν βαθέα τε καὶ εὐρέα καὶ πλέη ὕδατος περιθέει, μετὰ δὲ τεῖχος πεντήκοντα μὲν πηχέων βασιληΐων ἐὸν τὸ εὖρος, ὕψος δὲ διηκοσίων πηχέων· ὁ δὲ βασιλήϊος πῆχυς τοῦ

μετρίου ἐστὶ πήχεος μέζων τρισὶ δακτύλοισι. Δεῖ δή με πρὸς τούτοισι ἔτι φράσαι ἵνα τε ἐκ τῆς τάφρου ἡ γῆ ἀναισιμώθη καὶ τὸ τεῖχος ὅντινα τρόπον ἔργαστο. Ὀρύσσοντες ἅμα τὴν τάφρον ἐπλίνθευον τὴν γῆν τὴν ἐκ τοῦ ὀρύγματος ἐκφερομένην, ἑλκύσαντες δὲ πλίνθους ἱκανὰς ὤπτησαν αὐτὰς ἐν καμίνοισι· μετὰ δὲ τέλματι χρεώμενοι ἀσφάλτῳ θερμῇ, καὶ διὰ τριήκοντα δόμων πλίνθου ταρσοὺς καλάμων διαστοιβάζοντες, ἔδειμαν πρῶτα μὲν τῆς τάφρου τὰ χείλεα, δεύτερα δὲ αὐτὸ τὸ τεῖχος τὸν αὐτὸν τρόπον. Ἐπάνω δὲ τοῦ τείχεος παρὰ τὰ ἔσχατα οἰκήματα μουνόκωλα ἔδειμαν, τετραμμένα ἐς ἄλληλα· τὸ μέσον δὲ τῶν οἰκημάτων ἔλιπον τεθρίππῳ περιέλασιν. Πύλαι δὲ ἐνεστέασι πέριξ τοῦ τείχεος ἑκατὸν, χάλκεαι πᾶσαι, καὶ σταθμοί τε καὶ ὑπέρθυρα ὡσαύτως. Ἔστι δὲ ἄλλη πόλις ἀπέχουσα ὀκτὼ ἡμερέων ὁδὸν ἀπὸ Βαβυλῶνος· Ἶς οὔνομα αὐτῇ. Ἔνθα ἐστὶ ποταμὸς οὐ μέγας· Ἶς καὶ τῷ ποταμῷ τὸ οὔνομα, ἐσβάλλει δὲ οὗτος ἐς τὸν Εὐφρήτην ποταμὸν τὸ ῥέεθρον. Οὗτος ὦν ὁ Ἶς ποταμὸς ἅμα τῷ ὕδατι θρόμβους ἀσφάλτου ἀναδιδοῖ πολλοὺς, ἔνθεν ἡ ἄσφαλτος ἐς τὸ ἐν Βαβυλῶνι τεῖχος ἐκομίσθη.

Τετείχιστο μέν νυν ἡ Βαβυλὼν τρόπῳ τοιῷδε, ἔστι δὲ δύο φάρσεα τῆς πόλιος. Τὸ γὰρ μέσον αὐτῆς ποταμὸς διέργει, τῷ οὔνομά ἐστι Εὐφρήτης· ῥέει δὲ ἐξ Ἀρμενίων, ἐὼν μέγας καὶ βαθὺς καὶ ταχύς· ἐξίει δε οὗτος ἐς τὴν Ἐρυθρὴν θάλασσαν. Τὸ ὦν δὴ τεῖχος ἑκάτερον τοὺς ἀγκῶνας ἐς τὸν ποταμὸν ἐλήλαται· τὸ δὲ ἀπὸ τούτου αἱ ἐπικαμπαὶ παρὰ χεῖλος ἑκάτερον τοῦ ποταμοῦ αἱμασιὴ πλίνθων ὀπτέων παρατείνει. Τὸ δὲ ἄστυ αὐτὸ ἐὸν πλῆρες οἰκιέων τριωρόφων τε καὶ τετρωρόφων κατατέτμηται τὰς ὁδοὺς ἰθέας, τάς τε ἄλλας καὶ τὰς ἐπικαρσίας τὰς ἐπὶ τὸν ποταμὸν ἐχούσας. Κατὰ δὴ ὦν ἑκάστην ὁδὸν ἐν τῇ αἱμασιῇ τῇ παρὰ τὸν ποταμὸν πυλίδες ἐπῆσαν, ὅσαι περ αἱ λαῦραι, τοσαῦται ἀριθμόν· ἔσαν δὲ καὶ αὗται χάλκεαι, φέρουσαι καὶ αὐταὶ ἐς αὐτὸν τὸν ποταμόν.

Τοῦτο μὲν δὴ τὸ τεῖχος θώρηξ ἐστὶ, ἕτερον δὲ ἔσωθεν τεῖχος, οὐ πολλῷ τέῳ ἀσθενέστερον τοῦ ἑτέρου τείχεος, στεινότερον δέ. Ἐν δὲ φάρσεϊ ἑκατέρῳ τῆς πόλιος ἐτετείχιστο ἐν μέσῳ ἐν τῷ μὲν τὰ βασιλήϊα περιβόλῳ μεγάλῳ τε καὶ ἰσχυρῷ, ἐν δὲ τῷ ἑτέρῳ Διὸς Βήλου ἱρὸν χαλκόπυλον, καὶ ἐς ἐμὲ τοῦτο ἔτι ἐὸν, δύο σταδίων πάντη ἐὸν τετρά-

γωνον· Ἐν μέσῳ δὲ τοῦ ἱροῦ πύργος στερεὸς οἰκοδόμηται, σταδίου καὶ τὸ μῆκος καὶ τὸ εὖρος, καὶ ἐπὶ τούτῳ τῷ πύργῳ ἄλλος πύργος ἐπιβέβηκε, καὶ ἕτερος μάλα ἐπὶ τούτῳ, μέχρι οὗ ὀκτὼ πύργων. Ἀνάβασις δὲ ἐς αὐτοὺς ἔξωθεν κύκλῳ περὶ πάντας τοὺς πύργους ἔχουσα πεποίηται. Μεσοῦντι δέ κου τῆς ἀναβάσιός ἐστι καταγωγή τε καὶ θῶκοι ἀμπαυστήριοι, ἐν τοῖσι κατίζοντες ἀμπαύονται οἱ ἀναβαίνοντες. Ἐν δὲ τῷ τελευταίῳ πύργῳ νηὸς ἔπεστι μέγας· ἐν δὲ τῷ νηῷ κλίνη μεγάλη κέεται εὖ ἐστρωμένη, καί οἱ τράπεζα παρακέεται χρυσέη. Ἄγαλμα δὲ οὐκ ἔνι οὐδὲν αὐτόθι ἐνιδρυμένον· οὐδὲ νύκτα οὐδεὶς ἐναυλίζεται ἀθρώπων ὅτι μὴ γυνὴ μούνη τῶν ἐπιχωρίων, τὴν ἂν ὁ θεὸς ἕληται ἐκ πασέων, ὡς λέγουσι οἱ Χαλδαῖοι ἐόντες ἱρέες τούτου τοῦ θεοῦ.

Φασὶ δὲ οἱ αὐτοὶ οὗτοι, ἐμοὶ μὲν οὐ πιστὰ λέγοντες, τὸν θεὸν αὐτὸν φοιτᾶν τε ἐς τὸν νηὸν καὶ ἀμπαύεσθαι ἐπὶ τῆς κλίνης, κατά περ ἐν Θήβῃσι τῇσι Αἰγυπτίῃσι κατὰ τὸν αὐτὸν τρόπον, ὡς λέγουσι οἱ Αἰγύπτιοι· καὶ γὰρ δὴ ἐκεῖθι κοιμᾶται ἐν τῷ τοῦ Διὸς τοῦ Θηβαιέος γυνή, ἀμφότεραι δὲ αὗται λέγονται ἀνδρῶν οὐδαμῶν ἐς ὁμιλίην φοιτᾶν·

καὶ κατά περ ἐν Πατάροισι τῆς Λυκίης ἡ πρόμαντις τοῦ θεοῦ, ἐπεὰν γένηται· οὐ γὰρ ὦν αἰεί ἐστι χρηστήριον αὐτόθι· ἐπεὰν δὲ γένηται, τότε ὦν συγκατακληΐεται τὰς νύκτας ἔσω ἐν τῷ νηῷ.

Ἔστι δὲ τοῦ ἐν Βαβυλῶνι ἱροῦ καὶ ἄλλος κάτω νηὸς, ἔνθα ἄγαλμα μέγα τοῦ Διὸς ἔνι κατήμενον χρύσεον, καί οἱ τράπεζα μεγάλη παρακέεται χρυσέη, καὶ τὸ βάθρον οἱ καὶ ὁ θρόνος χρύσεός ἐστι· καὶ ὡς ἔλεγον οἱ Χαλδαῖοι, ταλάντων ὀκτακοσίων χρυσίου πεποίηται ταῦτα. Ἔξω δὲ τοῦ νηοῦ βωμός ἐστι χρύσεος. Ἔστι δὲ καὶ ἄλλος βωμὸς μέγας, ὅπου θύεται τὰ τέλεα τῶν προβάτων· ἐπὶ γὰρ τοῦ χρυσέου βωμοῦ οὐκ ἔξεστι θύειν ὅτι μὴ γαλαθηνὰ μοῦνα. Ἐπὶ δὲ τοῦ μέζονος βωμοῦ καὶ καταγίζουσι λιβανωτοῦ χίλια τάλαντα ἔτεος ἑκάστου οἱ Χαλδαῖοι τότε ἐπεὰν τὴν ὁρτὴν ἄγωσι τῷ θεῷ τούτῳ. Ἦν δὲ ἐν τῷ τεμένεϊ τούτῳ ἔτι τὸν χρόνον ἐκεῖνον καὶ ἀνδριὰς δυώδεκα πηχέων χρύσεος στερεός· ἐγὼ μέν μιν οὐκ εἶδον, τὰ δὲ λέγεται ὑπὸ Χαλδαίων, ταῦτα λέγω. Τούτῳ τῷ ἀνδριάντι Δαρεῖος μὲν ὁ Ὑστάσπεος ἐπιβουλεύσας οὐκ ἐτόλμησε λαβέειν, Ξέρξης δὲ ὁ Δαρείου ἔλαβε, καὶ τὸν ἱρέα ἀπέκτεινε ἀπαγορεύοντα μὴ κινέειν

τὸν ἀνδριάντα. Τὸ μὲν δὴ ἱρὸν τοῦτο οὕτω κεκόσμηται, ἔστι δὲ καὶ ἴδια ἀναθήματα πολλά.

Τῆς δὲ Βαβυλῶνος ταύτης πολλοὶ μέν κου καὶ ἄλλοι ἐγένοντο βασιλέες, τῶν ἐν τοῖσι Ἀσσυρίοισι λόγοισι μνήμην ποιήσομαι, οἳ τὰ τείχεά τε ἐπεκόσμησαν καὶ τὰ ἱρὰ, ἐν δὲ δὴ καὶ γυναῖκες δύο. Ἡ μὲν πρότερον ἄρξασα, τῆς ὕστερον γενεῇσι πέντε πρότερον γενομένη, τῇ οὔνομα ἦν Σεμίραμις, αὕτη μὲν ἀπεδέξατο χώματα ἀνὰ τὸ πεδίον ἐόντα ἀξιοθέητα· πρότερον δὲ ἐώθεε ὁ ποταμὸς ἀνὰ τὸ πεδίον πᾶν πελαγίζειν·

Ἡ δὲ δὴ δεύτερον γενομένη ταύτης βασίλεια, τῇ οὔνομα ἦν Νίτωκρις, αὕτη δὲ συνετωτέρη γενομένη τῆς πρότερον ἀρξάσης τοῦτο μὲν μνημόσυνα ἐλίπετο τὰ ἐγὼ ἀπηγήσομαι, τοῦτο δὲ τὴν Μήδων ὁρέουσα ἀρχὴν μεγάλην τε καὶ οὐκ ἀτρεμίζουσαν, ἀλλ' ἄλλα τε ἀραιρημένα ἄστεα αὐτοῖσι, ἐν δὲ δὴ καὶ τὴν Νίνον, προεφυλάξατο ὅσα ἐδύνατο μάλιστα. Πρῶτα μὲν τὸν Εὐφρήτην ποταμὸν ῥέοντα πρότερον ἰθὺν, ὅς σφι διὰ τῆς πόλιος μέσης ῥέει, τοῦτον ἄνωθεν διώρυχας ὀρύξασα, οὕτω δή τι ἐποίησε σκολιὸν ὥστε δὴ τρὶς ἐς τῶν τινὰ κωμέων τῶν ἐν τῇ Ἀσσυρίῃ ἀπικνέεται ῥέων.

Τῇ δὲ κώμῃ οὔνομά ἐστι, ἐς τὴν ἀπικνέεται ὁ Εὐφρήτης, Ἀρδέρικκα. Καὶ νῦν οἳ ἂν κομίζωνται ἀπὸ τῆσδε τῆς θαλάσσης ἐς Βαβυλῶνα, καταπλώοντες ἐς τὸν Εὐφρήτην ποταμὸν τρίς τε ἐς τὴν αὐτὴν ταύτην κώμην παραγίνονται καὶ ἐν τρισὶ ἡμέρῃσι. Τοῦτο μὲν δὴ τοιοῦτο ἐποίησε, χῶμα δὲ παρέχωσε παρ' ἑκάτερον τοῦ ποταμοῦ τὸ χεῖλος ἄξιον θώματος, μέγαθος καὶ ὕψος ὅσον τι ἐστί. Κατύπερθε δὲ πολλῷ Βαβυλῶνος ὤρυσσε ἔλυτρον λίμνῃ, ὀλίγον τι παρατείνουσα ἀπὸ τοῦ ποταμοῦ, βάθος μὲν ἐς τὸ ὕδωρ αἰεὶ ὀρύσσουσα, εὖρος δὲ τὸ περίμετρον αὐτοῦ ποιεῦσα εἴκοσί τε καὶ τετρακοσίων σταδίων· τὸν δὲ ὀρυσσόμενον χοῦν ἐκ τούτου τοῦ ὀρύγματος ἀναισίμου παρὰ τὰ χείλεα τοῦ ποταμοῦ παραχέουσα. Ἐπείτε δέ οἱ ὀρώρυκτο, λίθους ἀγαγομένη κρηπῖδα κύκλῳ περὶ αὐτὴν ἤλασε. Ἐποίεε δὲ ἀμφότερα ταῦτα, τόν τε ποταμὸν σκολιὸν καὶ τὸ ὄρυγμα πᾶν ἕλος, ὡς ὅ τε ποταμὸς βραδύτερος εἴη περὶ καμπὰς πολλὰς ἀγνύμενος, καὶ οἱ πλόοι ἔωσι σκολιοὶ ἐς τὴν Βαβυλῶνα, ἔκ τε τῶν πλόων ἐκδέκηται περίοδος τῆς λίμνης μακρή. Κατὰ τοῦτο δὲ ἐργάζετο τῆς χώρης τῇ αἵ τε ἐσβολαὶ ἔσαν καὶ τὰ σύντομα τῆς ἐκ Μήδων ὁδοῦ,

ἵνα μὴ ἐπιμισγόμενοι οἱ Μῆδοι ἐκμανθάνοιεν αὐτῆς τὰ πρήγματα.

Ταῦτα μὲν δὴ ἐκ βάθεος περιεβάλετο, τοιήνδε δὲ ἐξ αὐτῶν παρενθήκην ἐποιήσατο. Τῆς πόλιος ἐούσης δύο φαρσέων, τοῦ δὲ ποταμοῦ μέσον ἔχοντος, ἐπὶ τῶν πρότερον βασιλέων, ὅκως τις ἐθέλοι ἐκ τοῦ ἑτέρου φάρσεος ἐς τοὔτερον διαβῆναι, χρῆν πλοίῳ διαβαίνειν, καὶ ἦν, ὡς ἐγὼ δοκέω, ὀχληρὸν τοῦτο. Αὕτη δὲ καὶ τοῦτο προεῖδε· ἐπείτε γὰρ ὤρυσσε τὸ ἔλυτρον τῇ λίμνῃ, μνημόσυνον τόδε ἄλλο ἀπὸ τοῦ αὐτοῦ ἔργου ἐλίπετο. Ἐτάμνετο λίθους περιμήκεας, ὡς δέ οἱ ἕσαν οἱ λίθοι ἑτοῖμοι καὶ τὸ χωρίον ὀρώρυκτο, ἐκτρέψασα τοῦ ποταμοῦ τὸ ῥέεθρον πᾶν ἐς τὸ ὤρυσσε χωρίον, ἐν ᾧ ἐπίμπλατο τοῦτο, ἐν τούτῳ ἀπεξηρασμένου τοῦ ἀρχαίου ῥεέθρου, τοῦτο μὲν τὰ χείλεα τοῦ ποταμοῦ κατὰ τὴν πόλιν καὶ τὰς καταβάσις τὰς ἐκ τῶν πυλίδων ἐς τὸν ποταμὸν φερούσας ἀνοικοδόμησε πλίνθοισι ὀπτῇσι κατὰ τὸν αὐτὸν λόγον τῷ τείχεϊ, τοῦτο δὲ κατὰ μέσην κου μάλιστα τὴν πόλιν τοῖσι λίθοισι τοὺς ὠρύξατο οἰκοδόμεε γέφυραν, δέουσα τοὺς λίθους σιδήρῳ τε καὶ μολίβδῳ. Ἐπιτείνεσκε δὲ ἐπ' αὐτὴν, ὅκως μὲν ἡμέρη γένοιτο,

ξύλα τετράγωνα, ἐπ' ὧν τὴν διάβασιν ἐποιεῦντο οἱ Βαβυλώνιοι· τὰς δὲ νύκτας τὰ ξύλα ταῦτα ἀπαίρεσκον τοῦδε εἵνεκεν, ἵνα μὴ διαφοιτέοντες τὰς νύκτας κλέπτοιεν παρ' ἀλλήλων. Ὡς δὲ τό τε ὀρυχθὲν λίμνη πλήρης ἐγεγόνεε ὑπὸ τοῦ ποταμοῦ καὶ τὰ περὶ τὴν γέφυραν ἐκεκόσμητο, τὸν Εὐφρήτην ποταμὸν ἐς τὰ ἀρχαῖα ῥέεθρα ἐκ τῆς λίμνης ἐξήγαγε, καὶ οὕτω τὸ ὀρυχθὲν ἕλος γενόμενον ἐς δέον ἐδόκεε γεγονέναι καὶ τοῖσι πολιήτῃσι γέφυρα ἦν κατεσκευασμένη.

Ἡροδότου Ἱστορίων βιβλίον α΄.



ΧΕΙΡΑΓΩΓΙΑ

ΤΗΣ ʽΙΣΠΑΝΙΚΗΣ ΝΕΟΤΗΤΟΣ ʼΕΠΙ

ΤΗΝ ΓΛΩΣΣΑΝ ΤΩΝ ʽΕΛΛΗΝΩΝ.

LIBER TERTIUS.

Pythagoræ Aurea Carmina.

ʼΑθανάτους μὲν πρῶτα θεοὺς νόμῳ ὥς διάκεινται
τίμα· καὶ σέβου ὅρκον· ἔπειθʼ ἥρωας ἀγαυούς.
Τούς τε καταχθονίους σέβου δαίμονας ἔννομα ῥέζων.
Τούς τε γονεῖς τίμα, τούς τʼ ἄγχιστʼ ἐκγεγαῶτας.
Τῶν δʼ ἄλλων ἀρετῇ ποιεῦ φίλον ὅστις ἄριστος.
Πραέσι δʼ εἶκε λόγοις, ἔργοισί τε ἐπωφελίμοισι.
Μήδʼ ἔχθαιρε φίλον σὸν ἁμαρτάδος εἵνεκα μικρῆς,
ὄφρα δύνῃ· δύναμις γὰρ ἀνάγκης ἐγγύθι ναίει.
Ταῦτα μὲν οὕτως ἴσθι κρατεῖν δʼ εἰθίζεο τῶνδε·
γαστρὸς μὲν πρώτιστα καὶ ὕπνου λαγνείης τε,
καὶ θυμοῦ, πρήξεις δʼ αἰσχρόν ποτε μήτε μετʼ ἄλλου
μήτʼ ἰδίῃ, πάντων δὲ μάλιστʼ αἰσχύνεο σαυτόν.
Εἶτα δικαιοσύνην ἀσκεῖν ἔργῳ τε λόγῳ τε.

Μήδ' ἀλογίστως σαυτὸν ἔχειν περὶ μηδὲν ἔθιζε.
Ἀλλὰ γνῶθι μὲν ὡς θανέειν πέπρωται ἅπασιν·
χρήματα δ' ἄλλοτε μὲν κτᾶσθαι φίλει, ἄλλοτ' ὄλεσθαι.
Ὅσσά τε δαιμονίῃσι τύχαις βροτοὶ ἄλγε' ἔχουσιν,
Ὧν ἂν μοῖραν ἔχῃς, πράως φέρε, μήδε ἀγανάκτει.
Ἰᾶσθαι δὲ πρέπει καθόσον δύνῃ. Ὧδε δὲ φράζευ·
Οὐ πάνυ τοῖς ἀγαθοῖς τούτων πολὺ μοῖρα δίδωσι.
Πολλοὶ δ' ἀνθρώποισι λόγοι δειλοί τε καὶ ἐσθλοὶ
προσπίπτουσ', ὧν μήτ' ἐκπλήσσεο μήτ' ἂρ ἐάσῃς
εἴργεσθαι σαυτόν· ψεῦδος δ', ἤν πέρ τι λέγηται,
πράως ἴσχ'. Ὃ δέ τοι ἐρέω ἐπὶ παντὶ τελείσθω·
μηδεὶς μήτε λόγῳ σε παρείπῃ, μήτέ τι ἔργῳ·
πρῆξαι μήδ' εἰπεῖν ὅτι τοι μὴ βέλτερόν ἐστι.
Βουλεύου δὲ πρὸ ἔργου, ὅπως μὴ μωρὰ πέληται·
δειλοῦ τοι πρήσσειν τε λέγειν τ' ἀνόητα πρὸς ἀνδρός·
ἀλλὰ τὰ δ' ἐκτελέειν, ἅ σε μὴ μετέπειτ' ἀνιήσῃ.
Πρῆσσε δὲ μηδὲν τῶν μὴ πίστασαι, ἀλλὰ διδάσκευ
ὅσα χρεών· καὶ τερπνότατον βίον ὧδε διάξεις.
Οὐδ' ὑγιείης τῆς περὶ σῶμ' ἀμέλειαν ἔχειν χρὴ,
ἀλλὰ ποτοῦ τε μέτρον καὶ σίτου γυμνασίων τε
ποιεῖσθαι· μέτρον δὲ λέγω τόδ' ὃ μή σ' ἀνιήσῃ.
Εἰθίζου δὲ δίαιταν ἔχειν καθάρειον, ἄθρυπτον,

καὶ πεφύλαξό γε ταῦτα ποιεῖν ὁπόσα φθόνον ἴσχει.
Μὴ δαπανᾶν παρὰ καιρὸν ὁποῖα καλῶν ἀδαήμων·
μηδ' ἀνελεύθερος ἴσθι· μέτρον δ' ἐπὶ πᾶσιν ἄριστον.
Πρᾶσσε δὲ ταῦθ' ἅ σε μὴ βλάψῃ, λόγισαι δὲ πρὸ ἔργου.
Μηδ' ὕπνον μαλακοῖσιν ἐπ' ὄμμασι προσδέξασθαι
πρὶν τῶν ἡμερινῶν ἔργων τρὶς ἕκαστον ἐπελθεῖν·
Πῆ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;
Ἀρξάμενος δ' ἀπὸ πρώτου ἐπέξιθι καὶ μετέπειτα·
δειλὰ μὲν ἐκπρήξας ἐπιπλήσσεο, χρηστὰ δὲ τέρπου.
Ταῦτα πόνει· ταῦτ' ἐκμελέτα· τούτων χρὴ ἐρᾷν σε·
ταῦτά σε τῆς θείης ἀρετῆς εἰς ἴχνια θήσει.
Ναὶ μὰ τὸν ἁμετέρᾳ ψυχᾷ παραδόντα τετρακτὺν
παγὰν ἀεννάου φύσεως· ἀλλ' ἔρχευ ἐπ' ἔργον,
θεοῖσιν ἐπευξάμενος τελέσαι· τούτων δὲ κρατήσας,
γνώσῃ ἀθανάτων τε θεῶν, θνητῶν τ' ἀνθρώπων
σύστασιν, ᾗ τε ἕκαστα διέρχεται, ᾗ τε κρατεῖται·
γνώσῃ δ' ᾗ θέμις ἐστὶ φύσιν περὶ παντὸς ὁμοίην,
ὥσ τέ σε μήτε ἄελπτ' ἐλπίζειν, μή τέ τι λήθειν·
γνώσῃ δ' ἀνθρώπους αὐθαίρετα πήματ' ἔχοντας.
Τλήμονες! οἵ τ' ἀγαθῶν πέλας ὄντων οὐκ ἐσορῶσιν
οὔτε κλύουσι· λύσιν δὲ κακῶν παῦροι συνίσασιν.
Τοίη μοῖρα βροτῶν βλάπτει φρένας· οἱ δὲ κυλίνδροις

ἄλλοτ᾽ ἐπ᾽ ἄλλα φέρονται ἀπείρονα πήματ᾽ ἔχοντες.
Λυγρὴ γὰρ συνοπαδὸς ἔρις βλάπτουσα λέληθε
σύμφυτος, ἣν οὐ δεῖ προσάγειν, εἴκοντα δὲ φεύγειν.
Ζεῦ πάτερ, ἢ πολλῶν τε κακῶν τε λύσειας ἅπαντας
ἢ πᾶσιν δείξαις οἵῳ τῷ δαίμονι χρῶνται.
Ἀλλὰ σὺ θάρσει· ἐπεὶ θεῖον γένος ἐστὶ βροτοῖσιν
οἷς ἱερὰ προφέρουσα φύσις δείκνυσιν ἕκαστα.
Ὧν, εἴ σοί τι μέτεστι, κρατήσεις ὧν σε κελεύω
ἐξακέσας, ψυχὴν δὲ πόνων ἀπὸ τῶνδε σαώσεις.
Ἀλλ᾽ εἴργου βρωτῶν ὧν εἴπομεν ἔν τε καθαρμοῖς,
ἔν τε λύσει ψυχῆς κρῖνον, καὶ φράζευ ἕκαστα,
ἡνίοχον γνώμην στήσας καθύπερθεν ἀρίστην.
Ἢν δ᾽ ἀπολείψας σῶμα ἐς αἰθέρ᾽ ἐλεύθερον ἔλθῃς,
ἔσσεαι ἀθάνατος θεὸς, ἄμβροτος, οὐκ ἔτι θνητός.



Judei captivi.

Κλαύσαμεν ἑζόμενοι ποταμῶν Βαβυλῶνος ὕπερθεν
μνησάμενοι Σιῶνος, ἀριπρεπέος τ' ἀλεωρῆς·
μεσσόθι γὰρ ποταμῶν ὑπὲρ ὠλεσίκαρπον ἰτέαν
ἡμέτεραι φόρμιγγες ἀπῃώρηντο λιγεῖαι.
Κεῖσ' ἀναειρόμενοι ληΐστορες ἔννεπον ἄνδρες,
ἡμέας οἵ τε ἔπερσαν, ἀειδέμεναι σφίσιν ὕμνον·
« Ἐκ μελέων Σιῶνος ἀγακλέος εἴπατε μολπήν. »
Θεῖον ἐν ἀλλοδαπῇ πῶς μὲν μέλος ἐστὶν ἀεῖσαι;
Αἴχ' Ἱερουσαλὴ πολυήρατε σεῖο λαθοίμην,
ἡμετέρη λ[illegible]θοιτο φίλη κατὰ δεξιτερὴ χείρ·
πηγνυμέν[illegible]ερὶ λαιμὸν ἐμὴ κάρφοιτό κε γλῶσσα,
εἰ μή σευ κατὰ θυμὸν ἀεὶ μεμνημένος εἴην,
ὡς Ἱερουσαλὴν καὶ εὐφροσύνην προβαλοίμην!
Καὶ σὺ μάκαρ τεκέων ἐπιλήθεο μήποτ' Ἐδώμου,
ὄλβιον ἦμαρ ἔχειν Ἱερουσαλῆς ἐριτίμου,
τῶν ποτὲ βαζόντων· «Κενεὴ, κενεή τις ὄλοιτο,
μήδ' ἔτι οἱ φείδεσθε, ἕως ἔτι πυθμένας ἴσχει.»
Ὦ θύγατερ Βαβυλῶνος ἀεὶ περικάμμορος εἴης!
Ὄλβιος ὃς προτέρης σε βίης ἀποτίσεται ἀνὴρ,
ὃς πέτρης ὑπένερθε μολῶν σέο νήπια ῥήξει! ! ! . .

Ἀπολιναρίου Μετάφρ. τοῦ Ψαλτήρ.

ANACREONTIS TEII ODÆ.

α΄. Εἰς λύραν.

Θέλω λέγειν Ἀτρείδας,
θέλω δὲ Κάδμον ᾄδειν·
ἡ βάρβιτος δὲ χορδαῖς
Ἔρωτα μοῦνον ἠχεῖ.
Ἤμειψα νεῦρα πρώην,
καὶ τὴν λύρην ἅπασαν,
κἀγὼ μὲν ᾖδον ἄθλους
Ἡρακλέους· λύρη δὲ
Ἔρωτας ἀντεφώνει.
Χαίροιτε λοιπὸν ἡμῖν
ἥρωες· ἡ λύρη γὰρ
μόνους Ἔρωτας ᾄδει.

β΄. Εἰς γυναῖκας.

Φύσις κέρατα ταύροις,
ὁπλὰς δ' ἔδωκεν ἵπποις,
ποδωκίην λαγωοῖς,
λέουσι χάσμ' ὀδόντων·
τοῖς ἰχθύσιν τὸ νηκτὸν,

τοῖς ὀρνέοις πέτασθαι,
τοῖς ἀνδράσι φρόνημα.
Γυναιξὶν οὐκ ἔτ' εἶχεν,
τί οὖν δίδωσι; κάλλος·
ἀντ' ἀσπίδων ἁπασῶν,
ἀντ' ἐγχέων ἁπάντων.
Νικᾷ δὲ καὶ σίδηρον,
καὶ πῦρ καλή τις οὖσα.

γ'. Εἰς Ἔρωτα.

Μεσονυκτίοις ποθ' ὥραις
στρέφεταί ὅτ' Ἄρκτος ἤδη
κατὰ χεῖρα τὴν Βοώτου,
μερόπων δὲ φῦλα πάντα
κέαται κόπῳ δαμέντα,
τότ' Ἔρως ἐπισταθείς μευ
θυρέων ἔκοπτ' ὀχῆας.
Τίς, ἔφην, θύρας ἀράσσει;
κατά μευ σχίσεις ὀνείρους.
Ὁ δ' Ἔρως, ἄνοιγε, φησὶ,
βρέφος εἰμὶ, μὴ φόβησαι·
βρέχομαι δὲ, κἀσέληνον
κατὰ νύκτα πεπλάνημαι.

Ἐλέησα ταῦτ' ἀκούσας,
ἀνὰ δ' εὐθὺ λύχνον ἅψας
ἀνέῳξα· καὶ βρέφος μὲν
ἐσορῶ φέροντα τόξον
πτέρυγάς τε καὶ φαρέτρην.
Παρὰ δ' ἱστίην καθίξας,
παλάμαισι χεῖρας αὐτοῦ
ἀνέθαλπον, ἐκ δὲ χαίτης
ἀπέθλιβον ὑγρὸν ὕδωρ.
Ὁ δ', ἐπεὶ κρύος μεθῆκε,
φέρε, φησὶ, πειράσωμεν
τόδε τόξον· εἴ τί μοι νῦν
βλάβεται βραχεῖσα νευρή.
Τανύει δὲ, καί με τύπτει
μέσον ἧπαρ, ὥσπερ οἶστρος·
ἀνὰ δ' ἅλλεται καχάζων·
ξένε δ', εἶπε, συγχάρηθι,
κέρας ἀβλαβὲς μέν ἐστι,
σὺ δὲ καρδίην πονήσεις.

Θ'. Εἰς περιστεράν.

Ἐρασμίη πέλεια,
πόθεν, πόθεν πέτασαι;

Πόθεν μύρων τοσούτων,
ἐπ' ἠέρος θέουσα,
πνέεις τε καὶ ψεκάζεις;
τίς εἶς; τί σοι μέλει δέ;
'Ανακρέων μ' ἔπεμψε
πρὸς παῖδα, πρὸς Βάθυλλον,
τὸν ἄρτι τῶν ἁπάντων
κρατοῦντα καὶ τύραννον.
Πέπρακέ μ' ἡ Κυθήρη,
λαβοῦσα μικρὸν ὕμνον.
'Εγὼ δ' 'Ανακρέοντι
διακονῶ τοσαῦτα·
καὶ νῦν, ὁρᾷς, ἐκείνου
ἐπιστολὰς κομίζω·
καί φησιν εὐθέως με
ἐλευθέρην ποιήσειν.
'Εγὼ δὲ κἢν ἀφῇ με,
δούλη μενῶ παρ' αὐτῷ.
Τί γάρ με δεῖ πέτασθαι
ὄρη τε καὶ κατ' ἀγροὺς,
καὶ δένδρεσιν καθίζειν,
φαγοῦσαν ἄγριόν τι;
Τανῦν ἔδω μὲν ἄρτον

ἀφαρπάσασα χειρῶν
Ἀνακρέοντος αὐτοῦ·
πιεῖν δ' ἐμοὶ δίδωσι
τὸν οἶνον, ὃν προπίνει.
Πιοῦσα δ' ἂν χορεύσω,
καὶ δεσπότην ἐμοῖσι
πτεροῖσι συγκαλύψω.
Κοιμωμένη δ' ἐπ' αὐτῷ,
τῷ βαρβίτῳ καθεύδω.
Ἔχεις ἅπαντ'· ἄπελθε.
Λαλιστέραν μ' ἔθηκας,
ἄνθρωπε, καὶ κορώνης.

ια'. Εἰς ἑαυτόν.

Λέγουσιν αἱ γυναῖκες.
« Ἀνακρέων, γέρων εἶ,
λαβὼν ἔσοπτρον, ἄθρει
κόμας μὲν οὐκέτ' οὔσας,
ψιλὸν δέ σευ μέτωπον.»
Ἐγὼ δὲ τὰς κόμας μὲν
εἴτ' εἰσὶν, εἴτ' ἀπῆλθον,
οὐκ οἶδα, τοῦτο δ' οἶδα,
ὡς τῷ γέροντι μᾶλλον

πρέπει τὸ τερπνὰ παίζειν,
ὅσῳ πέλας τὰ Μοίρης.

ιε΄. Εἰς τὸ ἀφθόνως ζῆν.

Οὔ μοι μέλει τὰ Γύγεω,
τοῦ Σαρδίων ἄνακτος·
οὐδ' αἱρέει με χρυσὸς,
οὐδὲ φθονῶ τυράννους,
ἐμοὶ μέλει μύροισι
καταβρέχειν ὑπήνην·
ἐμοὶ μέλει ῥόδοισι
καταστέφειν κάρηνα.
Τὸ σήμερον μέλει μοι·
τὸ δ' αὔριον τίς οἶδεν;
Ὡς οὖν ἔτ' εὐδί' ἐστὶ,
καὶ πῖνε, καὶ κύβευε,
καὶ σπένδε τῷ Λυαίῳ,
μὴ νοῦσος, ἤν τις ἔλθῃ,
λέγῃ σὲ δεῖ μὴ πίνειν.

κ΄. Εἰς κόρην.

Ἡ Ταντάλου ποτ' ἔστη
λίθος Φρυγῶν ἐν ὄχθαις,

καὶ παῖς ποτ' ὄρνις ἔπτη
Πανδίονος χελιδών.
'Εγὼ δ' ἔσοπτρον εἴην,
ὅπως ἀεὶ βλέπῃς με·
ἐγὼ χιτὼν γενοίμην,
ὅπως ἀεὶ φορῇς με.
Ὕδωρ θέλω γενέσθαι,
ὅπως σε χρῶτα λούσω.
Μύρον, γύναι, γενοίμην,
ὅπως ἐγὼ σ' ἀλείψω·
καὶ ταινίη δὲ μαστῶν,
καὶ μάργαρον τραχήλῳ,
καὶ σάνδαλον γενοίμην
μόνον ποσὶν πατεῖν με.

λβ' Εἰς τοὺς ἑαυτοῦ Ἔρωτας.

Εἰ φύλλα πάντα δένδρων
ἐπίστασαι κατειπεῖν,
εἰ κύματ' οἶδας εὑρεῖν
τὰ τῆς ὅλης θαλάσσης,
σὲ τῶν ἐμῶν Ἐρώτων
μόνον ποιῶ λογιστήν.
Πρῶτον μὲν ἐξ Ἀθηνῶν

Ἔρωτας εἴκοσιν θὲς,
καὶ πεντεκαίδεκ' ἄλλους.
Ἔπειτα δ' ἐκ Κορίνθου
θὲς ὁρμαθοὺς Ἐρώτων·
Ἀχαΐης γάρ ἐστιν,
ὅπου καλαὶ γυναῖκες.
Τίθει δὲ Λεσβίους μοι,
καὶ μέχρι τῶν Ἰώνων,
καὶ Καρίης Ῥόδου τε,
δισχιλίους Ἔρωτας.
Τί φής; ἀεὶ κηρῷ θές·
οὔπω Σύρους ἔλεξα,
οὔπω πόθους Κανώβου,
οὐ τῆς ἅπαντ' ἐχούσης
Κρήτης, ὅπου πόλεσσιν
Ἔρως ἐποργιάζει.
Τί σοι θέλεις ἀριθμῶ
καὶ τοὺς Γαδείρων ἐκτὸς,
τοὺς Βακτρίων τε κ' Ἰνδῶν,
ψυχῆς ἐμῆς Ἔρωτας;

μγ'. Εἰς τέττιγα.

Μακαρίζομέν σε, τέττιξ,

ὅτι δενδρέων ἐπ' ἄκρων
ὀλίγην δρόσον πεπωκὼς,
βασιλεὺς ὅπως ἀείδεις.
Σὰ γάρ ἐστι κεῖνα πάντα,
χ' ὁπόσα βλέπεις ἐν ἀγροῖς,
χ' ὁπόσα φέρουσιν ὗλαι.
Σὺ δὲ φιλία γεωργῶν,
ἀπὸ μηδενός τι βλάπτων·
σὺ δὲ τίμιος βροτοῖσι,
θέρεος γλυκὺς προφήτης.
Φιλέουσι μέν σε Μοῦσαι,
φιλέει δὲ Φοῖβος αὐτὸς,
λιγυρὴν δ' ἔδωκεν οἴμην.
Τὸ δὲ γῆρας οὔ σε τείρει,
σοφὲ, γηγενὴς, φίλυμνε,
ἀπαθὴς, ἀναιμόσαρκε·
σχεδὸν εἶ θεοῖς ὅμοιος.

'Ανακρεόντος Τηΐου Μέλη.



ERINNÆ ODA.

Εἰς τὴν Ῥώμην.

Χαῖρέ μοι, Ῥῶμα, θύγατερ Ἄρηος
χρυσεόμιτρα, δαΐφρων ἄνασσα,
σεμνὸν, ἃ ναίεις ἐπὶ γᾶς Ὄλυμπον
αἰὲν ἄθραυστον.

Σοὶ μόνᾳ πρεσβίστα δέδωκε Μοῖρα
κῦδος ἀῤῥήκτω βασιλῆον ἀρχᾶς,
ὄφρα κοιρανῆον ἔχοισα κάρτος
ἀγεμονεύῃς.

Σᾷ δ' ὑπὸ σδεύγλᾳ κρατερῶν λεπάδνων
στέρνα γαίας καὶ πολιᾶς θαλάσσας
σφίγγεται· σὺ δ' ἀσφαλέως κυβερνᾷς
ἄστεα λαῶν.

Πάντα δὲ σφάλλων ὁ μέγιστος αἰὼν,
καὶ μεταπλάσσων βίον ἄλλοτ' ἄλλως,
σοὶ μόνᾳ πλησίστιον οὖρον ἀρχᾶς
οὐ μεταβάλλῃ.

Ἦ γὰρ ἐκ πάντων σὺ μόνα κρατίστους
ἄνδρας αἰχματὰς, μεγάλους, λοχεύεις,
εὔσταχυν Δάματρος ὅπως συνοίσῃς
καρπὸν ἀπ' ἀνδρῶν.

TYRTÆI CARMINA.

α'.

Τεθνάμεναι γὰρ καλὸν ἐπὶ προμάχοισι πεσόντα
ἄνδρ' ἀγαθὸν, περὶ ᾗ πατρίδι μαρνάμενον.
Τὴν δ' αὐτοῦ προλίποντα πόλιν καὶ πίονας ἀγροὺς
πτωχεύειν, πάντων ἔστ' ἀνιηρότατον,
πλαζόμενον σὺν μητρὶ φίλῃ, καὶ πατρὶ γέροντι,
παισί τε σὺν μικροῖς, κουριδίῃ τ' ἀλόχῳ.
Ἔχθιστος γὰρ τοῖσι μετέσσεται οὕς κεν ἵκηται,
χρησμοσύνῃ τ' εἴκων καὶ στυγερῇ πενίῃ·
αἰσχύνει τε γένος, κατὰ δ' ἀγλαὸν εἶδος ἐλέγχει,
πᾶσα δ' ἀτιμία καὶ κακότης ἕπεται.
Εἶθ' οὕτως ἀνδρός τοι ἀλομένου οὐδεμί' ὤρη
γίνεται, οὔτ' αἰδὼς εἰσοπίσω τελέθει.
Θυμῷ γῆς πέρι τῆσδε μαχώμεθα, καὶ περὶ παίδων
θνήσκωμεν, ψυχέων μηκέτι φειδόμενοι,
ὦ νέοι, ἀλλὰ μάχεσθε παρ' ἀλλήλοισι μένοντες
μηδὲ φυγῆς αἰσχρᾶς ἄρχετε, μηδὲ φόβου.
Ἀλλὰ μέγαν ποιεῖτε καὶ ἄλκιμον ἐν φρεσὶ θυμὸν,
μηδὲ φιλοψυχεῖτ' ἄνδρασι μαρνάμενοι.
Τοὺς δὲ παλαιτέρους, ὧν οὐκέτι γούνατ' ἐλαφρὰ,
μὴ καταλείποντες φεύγετε τοὺς γεραούς.

Αἰσχρὸν γὰρ δὴ τοῦτο μετὰ προμάχοισι πεσόντα
κεῖσθαι πρόσθε νέων ἄνδρα παλαιότερον,
ἤδη λευκὸν ἔχοντα κάρη πολιόν τε γένειον,
θυμὸν ἀποπνείοντ᾽ ἄλκιμον ἐν κονίῃ,
αἱματόεντ᾽ αἰδοῖα φίλαις ἐν χερσὶν ἔχοντα
(αἰσχρὰ τάγ᾽ ὀφθαλμοῖς καὶ νεμεσητὸν ἰδεῖν),
καὶ χρόα γυμνωθέντα· νέοισι δὲ παντ᾽ ἐπέοικεν·
ὄφρ᾽ ἄρα τῆς ἥβης ἀγλαὸν ἄνθος ἔχῃ,
ἀνδράσι μὲν θνητοῖσιν ἰδεῖν, ἐρατὸς δὲ γυναιξὶ
ζωὸς ἐών· καλὸς δ᾽ ἐν προμάχοισι πεσών.

β΄.

Ἀλλ᾽ Ἡρακλῆος γὰρ ἀνικήτου γένος ἐστὲ,
θαρσεῖτ᾽, οὔπω Ζεὺς αὐχένα λοξὸν ἔχει.
Μηδ᾽ ἀνδρῶν πληθὺν δειμαίνετε, μηδὲ φοβεῖσθε.
Ἰθὺς δ᾽ εἰς προμάχους ἀσπίδ᾽ ἀνὴρ ἐχέτω,
ἐχθρὰν μὲν ψυχὴν θέμενος, θανάτου δὲ μελαίνας
κῆρας αὐγαῖσιν ἠελίοιο φίλας.
Ἴστε γὰρ ὡς Ἄρεος πολυδακρύου ἔργ᾽ ἀρίδηλα,
εὖ δ᾽ ὀργὴν ἐδάητ᾽ ἀργαλέου πολέμου·
καὶ μετὰ φευγόντων τε διωκόντων τ᾽ ἐγένεσθε,

ὦ νέοι, ἀμφοτέρων δ' εἰς κόρον ἠλάσατε.
Οἳ μὲν γὰρ τολμῶσι παρ' ἀλλήλοισι μένοντες
ἔς τ' αὐτοσχεδίην καὶ προμάχους ἰέναι,
παυρότεροι θνήσκουσι, σάουσι δὲ λαὸν ὀπίσσω·
τρεσσάντων δ' ἀνδρῶν πᾶσ' ἀπόλωλ' ἀρετή.
Οὐδεὶς ἄν ποτε ταῦτα λέγων ἀνύσειεν ἕκαστα,
ὅσσ', ἂν αἰσχρὰ πάθῃ, γίνεται ἀνδρὶ κακά.
Ἀργαλέον γὰρ ὄπισθε μετάφρενόν ἐστι δαΐζειν
ἀνδρὸς φεύγοντος δηΐῳ ἐν πολέμῳ.
Αἰσχρὸς δ' ἔστι νέκυς κατακείμενος ἐν κονίῃσι
νῶτον ὄπισθ' αἰχμῇ δουρὸς ἐληλαμένος.
Ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισιν
στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακὼν,
μήρους τε κνήμας τε κάτω καὶ στέρνα καὶ ὤμους
ἀσπίδος εὐρείης γαστρὶ καλυψάμενος·
δεξιτέρῃ δ' ἐν χειρὶ τινασσέτω ὄβριμον ἔγχος,
κεινείτω δὲ λόφον δεινὸν ὑπὲρ κεφαλῆς.
Ἔρδων δ' ὄβριμα ἔργα, διδασκέσθω πολεμίζειν,
μηδ' ἐκτὸς βελέων ἑστάτω ἀσπίδ' ἔχων.
Ἀλλά τις ἐγγὺς ἰὼν αὐτοσχεδὸν ἔγχει μακρῷ
ἢ ξίφει οὐτάζων δήϊον ἄνδρ' ἑλέτω.
Καὶ πόδα πὰρ ποδὶ θεὶς, καὶ ἐπ' ἀσπίδος ἀσπίδ' ἐρείσας,

ἐν δὲ λόφον τε λόφῳ καὶ κυνέην κυνέῃ,
καὶ στέρνον στέρνῳ πεπαλημένος ἀνδρὶ μαχέσθω,
ἢ ξίφεος κώπην, ἢ δόρυ μακρὸν ἑλών.
Ὑμεῖς δ᾽ ὦ γυμνῆτες ὑπ᾽ ἀσπίδος ἄλλοθεν ἄλλος
πτώσσοντες, μεγάλοις σφάλλετε χερμαδίοις,
δούρασι τε ξεστοῖσιν ἀκοντίζοντες ἐς αὐτοὺς
τοῖσι πανοπλίταις πλήσιον ἱστάμενοι.

γ΄.

Οὔτ᾽ ἂν μνησαίμην, οὔτ᾽ ἐν λόγῳ ἄνδρα τιθείην,
οὔτε ποδῶν ἀρετῆς, οὔτε παλαισμοσύνης,
οὐδ᾽ εἰ Κυκλώπων μὲν ἔχοι μέγεθός τε βίην τε,
νικῴη δὲ θέων Θρηΐκιον βορέην·
οὐδ᾽ εἰ Τιθωνοῖο φυὴν χαριέστερος εἴη,
πλουτοίη δὲ Μίδεω καὶ Κινύρεω βάθιον·
οὐδ᾽ εἰ Ταντταλίδεω Πέλοπος βασιλεύτερος εἴη,
γλῶσσαν δ᾽ Ἀδρήστου μειλιχόγηρυν ἔχοι·
οὐδ᾽ εἰ πᾶσαν ἔχοι δόξαν πλὴν θούριδος ἀλκῆς·
οὐ γὰρ ἀνὴρ ἀγαθὸς γίνεται ἐν πολέμῳ,
εἰ μὴ τετλαίη μὲν ὁρῶν φόνον αἱματόεντα,
καὶ δηΐων ὀρέγοιτ᾽ ἐγγύθεν ἱστάμενος.
Ἡ δ᾽ ἀρετή· τόδ᾽ ἄεθλον ἐν ἀνθρώποισιν ἄριστον

κάλλιστόν τε φέρειν γίνεται ἀνδρὶ νέῳ.
Ξυνὸν δ' ἐσθλὸν τοῦτο πολῆΐ τε παντί τε δήμῳ,
ὅστις ἀνὴρ διαβὰς ἐν προμάχοισι μένῃ
νωλεμέως, αἰσχρᾶς δὲ φυγῆς ἐπὶ πάγχυ λάθηται,
ψυχὴν καὶ θυμὸν τλήμονα παρθέμενος,
θαρσύνῃ δὲ πεσεῖν τὸν πλήσιον ἄνδρα παρεστώς·
οὗτος ἀνὴρ ἀγαθὸς γίνεται ἐν πολέμῳ.
Αἶψα δὲ δυσμενέων ἀνδρῶν ἔτρεψε φάλαγγας
τρηχείας, σπουδῇ τ' ἔσχεθε κῦμα μάχης.
Αὐτὸς δ' ἐν προμάχοισι πεσὼν φίλον ὤλεσε θυμὸν
ἄστυ τε καὶ λαοὺς καὶ πατέρ' εὐκλεΐσας·
πολλὰ διὰ στέρνοιο καὶ ἀσπίδος ὀμφαλοέσσης
καὶ διὰ θώρηκος πρόσθεν ἐληλαμένος.
Τὸν δ' ὀλοφύρονται μὲν ὁμῶς νέοι ἠδὲ γέροντες,
ἀργαλέῳ τε πόθῳ πᾶσα κέκηδε πόλις.
Καὶ τύμβος, καὶ παῖδες ἐν ἀνθρώποις ἀρίσημοι,
καὶ παίδων παῖδες καὶ γένος ἐξοπίσω.
Οὐδέποτε κλέος ἐσθλὸν ἀπόλλυται, οὐδ' ὄνομ' αὐτοῦ,
ἀλλ', ὑπὸ γῆς περ ἐών, γίνεται ἀθάνατος,
ὅντιν' ἀριστεύοντα, μένοντά τε μαρνάμενόν τε
γῆς πέρι καὶ παίδων θοῦρος Ἄρης ὀλέσῃ.
Εἰ δὲ φύγῃ μὲν κῆρα τανηλεγέος θανάτοιο,

νικήσας δ' αἰχμῆς ἀγλαὸν εὖχος ἕλῃ,
πάντες μὲν τιμῶσιν ὁμῶς νέοι ἠδὲ παλαιοὶ,
πολλὰ δὲ τερπνὰ παθὼν ἔρχεται εἰς ἀΐδην.
Γηράσκων δ' ἀστοῖσι μεταπρέπει, οὐδέ τις αὐτὸν
βλάπτειν οὔτ' αἰδοῦς οὔτε δίκης ἐθέλει.
Πάντες δ' ἐν θώκοισι ὁμῶς νέοι, οἵ τε κατ' αὐτὸν
εἴκουσ' ἐκ χώρης, οἵ τε παλαιότεροι.
Ταύτης νῦν τὶς ἀνὴρ ἀρετῆς εἰς ἄκρον ἵκεσθαι
πειράσθω θυμῷ, μὴ μεθιεὶς πόλεμον.

δ'.

Μέχρις τεῦ κατάκεισθε; κότ' ἄλκιμον ἕξετε θυμον,
ὦ νέοι; Οὐδ' αἰδεῖσθ' ἀμφιπερικτίονας,
ὧδε λίην μεθίεντες; 'Εν εἰρήνῃ δὲ δοκεῖτε
ἧσθαι, ἀτὰρ πόλεμος γαῖαν ἅπασαν ἔχει!

. . . .

Καί τις ἀποθνήσκων ὕστατ' ἀκοντισάτω·
τιμῆέν τε γάρ ἐστι καὶ ἀγλαὸν ἀνδρὶ μάχεσθαι
γῆς πέρι καὶ παίδων κουριδίης τ' ἀλόχου
δυσμενέσιν· θάνατος δέ ποτ' ἔσσεται, ὁππότε κεν δὴ

μοῖραι ἐπικλώσωσ'. Ἀλλά τις ἰθὺς ἴτω
ἔγχος ἀνασχόμενος καὶ ὑπ' ἀσπίδος ἄλκιμον ἦτορ
ἔλσας, τὸ πρῶτον μιγνυμένου πολέμου.
Οὐ γάρ κως θάνατόν γε φυγεῖν εἱμαρμένον ἐστὶν
ἄνδρ', οὐδ' εἰ προγόνων ᾖ γένος ἀθανάτων.
Πολλάκι δηϊοτῆτα φυγὼν καὶ δοῦπον ἀκόντων
ἔρχεται, ἐν δ' οἴκῳ μοῖρα κίχεν θανάτου.
Ἀλλ' ὁ μὲν οὐκ ἔμπας δήμῳ φίλος οὐδὲ ποθεινός,
τὸν δ' ὀλίγος στενάχει καὶ μέγας ἤν τι πάθῃ·
λαῷ γὰρ συμπάντι πόθος κρατερόφρονος ἀνδρὸς
θνήσκοντος· ζώων δ' ἄξιος ἡμιθέων.
Ὥσπερ γάρ μιν πύργον ἐν ὀφθαλμοῖσιν ὁρῶσιν,
ἔρδει γὰρ πολλῶν ἄξια μοῦνος ἐών.

SAPPHUS RELIQUIÆ.

α΄. Εἰς Ἀφροδίτην.

Ποικιλόθρον', ἀθάνατ' Ἀφροδίτα,
παῖ Διὸς, δολοπλόκε, λίσσομαί τε,
μή μ' ἄσαισι, μηδ' ἀνίαισι δάμνα,
πότνια, θῦμον.
Ἀλλὰ τυῖδ' ἔλθ' αἴποκα κἀτέρῶτα
τᾶς ἐμᾶς αὔδᾶς ἀΐοισα πολλὺ
ἔκλυες, πατρὸς δὲ δόμον λιποῖσα,
χρύσεον ἦλθες
ἅρμ' ὑποζεύξασα, κάλοι δέ τ' ἆγον
ὠκέες στροῦθοι, περὶ γᾶς μελαίνας
πύκνα δινῦντες πτέρ' ἀπ' ὠραν' ὠθέ-
ρος διὰ μέσσω·
αἶψ' ἀλλ' ἐξίκοντο· τὺ δ', ὦ μάκαιρα,
μειδιάσασ' ἀθανάτω προσώπω,
ἦρε' ὄττι γ' ἦν τὸ πέπονθα, κ' ὄττι
δή τε κάλημμι,
κ' ὄττι γ' ἐμῷ μάλιστ' ἐθέλω γενέσθαι
μαινόλα θύμω, τίνα δ' αὖτε πείθημ-
μι σαγήνεσσαν φιλότατα· τίς τ', ὦ

Σαπφοῖ, ἀδικῆ;
Καὶ γὰρ αἰ φεύγει, ταχέως διώξει·
αἰ δὲ δῶρα μὴ δέκετ', ἀλλὰ δώσει·
αἰ δὲ μὴ φιλῆ, τάχεως φιλάσει,
ἢ οὐκὶ ἐθέλλοις.
Ἔλθ' ἐμοὶ καὶ νῦν, χαλεπᾶν δὲ λῦσον
ἐκ μεριμνᾶν, ὅσσα δ' ἐμοὶ τελέσσαι
θῦμος ἱμέῤῥει, τέλεσον· τὺ δ' αὐτὰ
σύμμαχος ἔσσο.

β'. Πρὸς γυναῖκα ἐρωμένην.

Φαίνεταί μοι κῆνος ἴσος θεοῖσιν
ἔμμεν ὠνὴρ, ὅστις ἐναντίος τοι
ἰσδάνει, καὶ πλασίον ἁδὺ φωνα-
σαί σ' ὑπακούει,
καὶ γελάϊς ἱμερόεν· τό μοι 'μὰν
καρδίαν ἐν στήθεσιν ἐπτόασεν.
Ὡς γὰρ εἴδω τε, βροχέως με φωνᾶς
οὐδὲν ἔτ' ἴκει.
Ἀλλὰ καμμὲν γλῶσσα ἔαγ', ἂν δὲ λεπτὸν
αὐτίκα χρῷ πῦρ ὑποδεδρόμακεν,
ὀππάτεσσιν δ' οὐδὲν ὄρημ', ἐπιβομ-

βεῦσι δ' ἀκουαί·
καδδ' ἰδρὼς ψύχρος χέεται, τρόμος δὲ
πᾶσαν ἀγρεῖ, χλωροτέρα δὲ ποίας
ἐμμί· τεθνᾶναι δ' ὀλίγω δέοισα
φαίνομαι ἄπνους.
Ἀλλὰ πᾶν τολματὸν, ἐπεὶ πένητα . . .
. . . .

γ'. Πρὸς πλουσίαν, ἀλλὰ ἀμαθῆ καὶ ἄμουσον γυναῖκα.

Κατθανοῖσα δὲ κείσεαι·
οὐδέ τι μναμοσύνα σέθεν
ἔσσεται, οὐδέ ποκ' ὕστερον·
οὐ γὰρ πεδέχεις βρόδων,
τῶν ἐκ Πιερίας. Ἀλλ' ἀφανὴς
κὴν Ἀΐδα δόμοις φοιτάσεις.
οὐδεὶς δέ τε βλέψει πέδαυρον
νεκύων ἐκπεποταμέναν.

δ'.

Ἐλθὲ, Κύπρι, χρυσείαισιν

ἐν κυλίκεσσιν ἄβροις
συμμεμιγμένον θαλίαισι
νέκταρ οἰνοχοεῦσα
τούτοισι τοῖς ἑταίροις
ἐμοῖς γε καὶ σοῖς.

ε'.

Γλυκεῖα μᾶτερ, οὔ τι δύναμαι κρέκειν τὸν ἱστὸν,
πόθῳ δαμεῖσα παιδὸς, βραδινὰν δι' Ἀφροδίταν.

ϛ'.

Δέδυκε μὲν ἁ Σελάνα
καὶ Πληϊάδες, μέσαι δὲ
νύκτες, παρὰ δ' ἔρχετ' ὥρα
ἐγὼ δὲ μόνα καθεύδω.



THEOCRITI CARMINA.

ΚΥΚΛΩΨ. Εἰδύλλιον ια'.

Οὐδὲν ποττὸν ἔρωτα πεφύκει φάρμακον ἄλλο,
Νικία, οὔτ' ἔγχριστον, ἐμὶν δοκεῖ, οὔτ' ἐπίπαστον,
ἢ ταὶ Πιερίδες· κοῦφον δέ τι τοῦτο καὶ ἁδὺ
γίνετ' ἐπ' ἀνθρώποις, εὑρεῖν δ' οὐ ῥᾴδιόν ἐντι.
Γινώσκειν δ' οἶμαί τυ καλῶς ἰατρὸν ἐόντα,
καὶ ταῖς ἐννέα δὴ πεφιλαμένον ἔξοχα μοίσαις.
Οὕτω γοῦν ῥάϊστα διᾶγ' ὁ Κύκλωψ ὁ παρ' ἁμῖν,
ὡρχαῖος Πολύφαμος, ὅκ' ἤρατο τᾶς Γαλατείας,
ἄρτι γενειάσδων περὶ τὸ στόμα τὼς κροτάφως τε·
ἤρατο δ' οὔτι ῥόδοις, οὐ μάλοις, οὐδὲ κικίννοις,
ἀλλ' ὀλοαῖς μανίαις· ἁγεῖτο δὲ πάντα πάρεργα.
Πολλάκι ταὶ ὄϊες ποτὶ τωὖλιον αὐταὶ ἀπῆνθον
χλωρᾶς ἐκ βοτάνας· ὁ δὲ τὰν Γαλάτειαν ἀείδων
αὐτὸς ἐπ' ἀϊόνος κατετάκετο φυκιοέσσας
ἐξ ἀοῦς, ἔχθιστον ἔχων ὑποκάρδιον ἕλκος
Κύπριδος ἐκ μεγάλας, ἅ οἱ ἥπατι πᾶξε βέλεμνον.
Ἀλλὰ τὸ φάρμακον εὗρε· καθεζόμενος δ' ἐπὶ πέτρας
ὑψηλᾶς ἐς πόντον ὁρῶν ἄειδε τοιαῦτα·
« Ὦ λευκὰ Γαλάτεια, τί τὸν φιλέοντ' ἀποβάλλῃ;

λευκοτέρα πακτᾶς ποτιδεῖν, ἁπαλωτέρα ἀρνὸς,
μόσχω γαυροτέρα, φιαρωτέρα ὄμφακος ὠμᾶς·
φοιτῇς δ' αὖθ' οὕτως, ὅκκα γλυκὺς ὕπνος ἔχῃ με,
οἴχῃ δ' εὐθὺς ἰοῖσ', ὅκκα γλυκὺς ὕπνος ἀνῇ με,
φεύγεις δ' ὥσπερ ὄϊς πολιὸν λύκον ἀθρήσασα.
Ἠράσθην μὲν ἔγωγα τεοῦς, κόρα, ἁνίκα πρᾶτον
ἦνθες ἐμᾷ σὺν ματρὶ θέλοισ' ὑακίνθινα φύλλα
ἐξ ὄρεος δρέψασθαι, ἐγὼ δ' ὁδὸν ἁγεμόνευον.
Παύσασθαι δ' ἐσιδών τυ καὶ ὕστερον οὐδέ τί πα νῦν
ἐκ τήνω δύναμαι· τὶν δ' οὐ μέλει οὐ μὰ Δί' οὐδέν.
γινώσκω, χαρίεσσα κόρα, τίνος οὕνεκα φεύγεις·
οὕνεκά μοι λασία μὲν ὀφρὺς ἐπὶ παντὶ μετώπῳ
ἐξ ὠτὸς τέταται ποτὶ θὤτερον ὧς μία μακρά·
εἷς δ' ὀφθαλμὸς ἔπεστι, πλατεῖα δὲ ῥὶς ἐπὶ χείλει.
Ἀλλ' ὡὐτὸς τοιοῦτος ἐὼν, βοτὰ χίλια βόσκω,
κἠκ τούτων τὸ κράτιστον ἀμελγόμενος γάλα πίνω·
τυρὸς δ' οὐ λείπει μ' οὔτ' ἐν θέρει οὔτ' ἐν ὀπώρᾳ,
οὐ χειμῶνος ἄκρω· ταρσοὶ δ' ὑπεραχθέες αἰεί.
Συρίσδεν δ' ὡς οὔτις ἐπίσταμαι ὧδε Κυκλώπων,
τὶν, τὸ φίλον γλυκύμαλον, ἅμα κἠμαυτὸν ἀείδων
πολλάκι νυκτὸς ἀωρί· τρέφω δέ τοι ἕνδεκα νεβρὼς
πάσας μαννοφόρως, καὶ σκύμνως τέσσαρας ἄρκτων.
Ἀλλ' ἀφίκευ τὺ ποθ' ἄμμε καὶ ἕξεις οὐδὲν ἔλασσον,

τὰν γλαυκὰν δὲ θάλασσαν ἔα ποτὶ χέρσον ὀρεχθεῖν.
Ἅδιον ἐν τὤντρῳ παρ' ἐμὶν τὰν νύκτα διαξεῖς·
ἐντὶ δάφναι τηνεὶ, ἐντὶ ῥαδιναὶ κυπάρισσοι,
ἐντὶ μέλας κισσὸς, ἐντ' ἄμπελος ἁ γλυκύκαρπος·
ἐντὶ ψυχρὸν ὕδωρ, τό μοι ἁ πολυδένδρεος Αἴτνα
λευκᾶς ἐκ χιόνος ποτὸν ἀμβρόσιον προΐητι.
Τίς κἂν τῶνδε θάλασσαν ἔχειν ἢ κύμαθ' ἕλοιτο;
αἰ δέ τοι αὐτὸς ἐγὼ δοκέω λασιώτερος ἦμεν,
ἐντὶ δρυὸς ξύλα μοι καὶ ὑπὸ σποδῷ ἀκάματον πῦρ·
καιόμενος δ' ὑπὸ τεῦς καὶ τὰν ψυχὰν ἀνεχοίμαν,
καὶ τὸν ἕν' ὀφθαλμὸν, τῶ μοι γλυκερώτερον οὐδέν.
Ὤιμοι, ὅτ' οὐκ ἔτεκέν μ' ἁ μάτηρ βράγχι' ἔχοντα
ὡς κατέδυν ποτὶ τὶν, καὶ τὰν χέρα τεῦς ἐφίλασα,
αἰ μὴ τὸ στόμα λῇς, ἔφερον δέ τοι ἢ κρίνα λευκὰ,
ἢ μάκων' ἁπαλὰν ἐρυθρὰ πλαταγώνι' ἔχοισαν.
Ἀλλὰ τὰ μὲν θέρεος, τὰ δὲ γίνεται ἐν χειμῶνι,
ὥστ' οὐκ ἄν τοι ταῦτα φέρειν ἅμα πάντ' ἐδυνάθην.
Νῦν μὰν, ὦ κόριον, νῦν αὐτόθι νεῖν γε μαθεῦμαι!
Αἴκα τις σὺν ναῒ πλέων ξένος ὧδ' ἀφίκηται,
ὡς εἰδῶ, τί ποθ' ἁδὺ κατοικεῖν τὸν βυθὸν ὔμμιν!
Ἐξένθοις, Γαλάτεια, καὶ ἐξενθοῖσα λάθοιο,
ὥσπερ ἐγὼ νῦν ὧδε καθήμενος, οἴκαδ' ἀπενθεῖν·
ποιμαίνειν δ' ἐθέλοις σὺν ἐμὶν ἅμα καὶ γάλ' ἀμέλγειν

καὶ τυρὸν πᾶξαι τάμισον δριμεῖαν ἐνεῖσα! ! ! . .
Ἁ μάτηρ ἀδικεῖ με μόνα, καὶ μέμφομαι αὐτᾷ·
οὐδὲν πᾷ ποχ' ὅλως ποτὶ τὶν φίλον εἶπεν ὑπέρ μευ,
καὶ ταῦτ' ἆμαρ ἐπ' ἆμαρ ὁρεῦσά με λεπτὸν ἐόντα!
Φασῶ τὰν κεφαλὰν καὶ τὼς πόδας ἀμφοτέρως μευ
σφύσδειν, ὡς ἀνιαθῇ, ἐπεὶ κἠγὼν ἀνιῶμαι! . . .
Ὦ Κύκλωψ, Κύκλωψ, πᾷ τὰς φρένας ἐκπεπότασαι;
αἴχ' ἐνθὼν ταλάρως τε πλέκοις καὶ θαλλὸν ἀμάσας
ταῖς ἄρνεσσι φέροις, τάχα καὶ πολὺ μᾶλλον ἔχοις νοῦν.
Τὰν παρεοῖσαν ἄμελγε· τί τὸν φεύγοντα διώκεις;
εὑρήσεις Γαλάτειαν ἴσως καὶ καλλίον' ἄλλαν.
Πολλαὶ συμπαῖσδέν με κόραι τὰν νύκτα κέλονται,
κιχλίσδοντι δὲ πᾶσαι, ἐπεί κ' αὐταῖς ὑπακούσω.
Δῆλον ὅτ' ἐν τᾷ γᾷ κἠγώ τις φαίνομαι ἦμεν».
Οὕτω τοι Πολύφαμος ἐποίμαινεν τὸν ἔρωτα
μουσίσδων, ῥᾷον δὲ διᾶγ' ἢ εἰ χρυσὸν ἔδωκεν.



ΣΥΡΑΚΟΥΣΙΑΙ Ἠ ἈΔΩΝΙΑΖΟΥΣΑΙ.

Εἰδύλλιον ιε΄.

ΓΟΡΓΩ, ΠΡΑΞΙΝΟΑ, ΓΡΑΥΣ, ΞΕΝΟΣ.
[ἙΤΕΡΟΣ ΞΕΝΟΣ, ΓΥΝΗ ἈΟΙΔΟΣ.]

ΓΟΡΓΩ.

Ἔνδοῖ Πραξινόα;

ΠΡΑΞΙΝΟΑ.

Γοργοῖ φίλα, ὡς χρόνῳ; ἐνδοῖ.
Θαῦμ' ὅτι καὶ νῦν ἦνθες· ὅρη δίφρον, Εὐνόα, αὐτᾷ·
ἔμβαλε καὶ ποτίκρανον.

ΓΟΡΓΩ.

Ἔχει κάλλιστα.

ΠΡΑΞΙΝΟΑ.

Καθίζευ.

ΓΟΡΓΩ.

Ὦ τᾶς ἀδαμάτω ψυχᾶς· μόλις ὔμμιν ἐσώθην,
Πραξινόα, πολλῶ μὲν ὄχλω, πολλῶν δὲ τεθρίππων·
παντᾷ κρηπῖδες, παντᾷ χλαμυδηφόροι ἄνδρες·
ἁ δ' ὁδὸς ἄτρυτος· τὺ δ' ἑκαστοτέρω μευ ἀποικεῖς.

ΠΡΑΞΙΝΟΑ.

Ταῦθ' ὁ πάραρος τῆνος ἐπ' ἔσχατα γᾶς ἔλαβ' ἐνθὼν·

ἰλεὸν, οὐκ οἴκησιν, ὅπως μὴ γείτονες ὦμες
ἀλλάλαις, ποτ' ἔριν φθονερὸν κακὸν, αἰὲν ὁμοῖος.

ΓΟΡΓΩ.

Μὴ λέγε τὸν τεὸν ἄνδρα, φίλα, Δείνωνα τοιαῦτα,
τῶ μικκῶ παρεόντος· ὅρη, γύναι, ὡς ποθορῇ τυ.
Θάρσει, Ζωπυρίων, γλυκερὸν τέκος· οὐ λέγει ἀπφύν.

ΠΡΑΞΙΝΟΑ.

Αἰσθάνεται τὸ βρέφος, ναὶ τὰν πότνιαν·

ΓΟΡΓΩ.

Καλὸς ἀπφύς.

ΠΡΑΞΙΝΟΑ.

Ἀπφὺς μὰν τῆνος πρώαν (λέγομες τὰ πρώαν θὴν
πάντα) νίτρον καὶ φῦκος ἀπὸ σκανᾶς ἀγοράσδων
κῆνθε φέρων ἅλας ἄμμιν, ἀνὴρ τρισκαιδεκάπαχυς.

ΓΟΡΓΩ.

Χὠμὸς ταυτᾷ ἔχει, φθόρος ἀργυρίω, Διοκλείδας·
ἑπταδράχμως κυνάδας, γραιᾶν ἀποτίλματα πηρᾶν,
πέντε πόκως ἔλαβ' ἐχθὲς, ἅπαν ῥύπον, ἔργον
ἐπ' ἔργῳ.
Ἀλλ' ἴθι, τὠμπέχονον καὶ τὰν περονατρίδα λάζευ.
Βᾶμες τῶ βασιλῆος ἐς ἀφνειῶ Πτολεμαίω
θασόμεναι τὸν Ἄδωνιν· ἀκούω χρῆμα καλόν τι
κοσμεῖν τὰν βασίλισσαν.

ΠΡΑΞΙΝΟΑ.

Ἐν ὀλβίω ὄλβια πάντα.

ΓΟΡΓΩ.

Ὧν ἴδες, ὧν εἶπες καὶ ἰδοῖσα τὺ τῷ μὴ ἰδόντι.
Ἕρπειν ὥρα κ' εἴη.

ΠΡΑΞΙΝΟΑ.

Ἀεργοῖς αἰὲν ἑορτά·
Εὐνόα, αἶρε τὸ νᾶμα καὶ ἐς μέσον, αἰνόθρυπτε,
θὲς πάλιν· αἱ γαλέαι μαλακῶς χρήσδοντι καθ-
εύδειν·
κινεῦ δὴ, φέρε θᾶσσον ὕδωρ. Ὕδατος πρότερον δεῖ·
ἁ δὲ σμᾶγμα φέρει. Δὸς ὅμως· μὴ πουλὺ, ἄπληστε,
ἔγχει ὕδωρ· δύστανε, τί μευ τὸ χιτώνιον ἄρδεις;
παῦε. Ὁκοῖα θεοῖς ἐδόκει, ταυτᾷ γε νένιμμαι.
Ἁ κλὰξ τᾶς μεγάλας πᾷ λάρνακος; ὧδε φέρ' αὐτάν.

ΓΟΡΓΩ.

Πραξινόα, μάλα τοι τὸ καταπτυχὲς ἐμπερόναμα
τοῦτο πρέπει· λέγε μοι πόσσω κατέβα τοι ἀφ' ἱστῶ;

ΠΡΑΞΙΝΟΑ.

Μὴ μνάσῃς, Γοργοῖ· πλέον ἀργυρίω καθαρῶ μνᾶν
ἢ δύο. τοῖς δ' ἔργοις καὶ τὰν ψυχὰν ποτέθηκα.

ΓΟΡΓΩ.

Ἀλλὰ κατὰ γνώμαν ἀπέβα τοι.

ΠΡΑΞΙΝΟΑ.

Τοῦτο κάλ' εἶπας.
Τὠμπέχονον φέρε μοι καὶ τὰν θολίαν κατὰ κόσμον
ἀμφίθες. Οὐκ ἀξῶ τυ τέκνον· μορμὼ, δάκνει ἵππος.
Δάκρυ' ὅσσα θέλεις· χωλὸν δ' οὐ δεῖ τυ γενέσθαι.
Ἕρπωμες. Φρυγία, τὸν μικκὸν παῖσδε λαβοῖσα,
τὰν κύν' ἔσω κάλεσον, τὰν αὐλείαν ἀπόκλαξον.
Ὦ θεοὶ, ὅσσος ὄχλος· πῶς καί ποκα τοῦτο περᾶσαι
χρὴ τὸ κακόν; μύρμακες ἀνάριθμοι καὶ ἄμετροι.
Πολλά τοι, ὦ Πτολεμαῖε, πεποίηται καλὰ ἔργα,
ἐξ ὧ ἐν ἀθανάτοις ὁ τεκών· οὐδεὶς κακοεργὸς
δαλεῖται τὸν ἰόντα παρέρπων Αἰγυπτιστὶ,
οἷα πρὶν ἐξ ἀπάτας κεκροταμένοι ἄνδρες ἔπαισδον,
ἀλλάλοις ὁμαλοὶ, κακὰ παίγνια, πάντες ἐρειοί.
Ἁδίστα Γοργοῖ, τί γενώμεθα; τοὶ πολεμισταὶ
ἵπποι τῶ βασιλῆος. Ἄνερ φίλε, μή με πατήσῃς.
Ὀρθὸς ἀνέστα ὁ πυῤῥός. ἴδ' ὡς ἄγριος· κυνοθαρσὴς
Εὐνόα, οὐ φευξῇ; διαχρησεῖται τὸν ἄγοντα.
Ὠνάθην μεγάλως· ὅτι μοι τὸ βρέφος μένει ἔνδον.

ΓΟΡΓΩ.

Θάρσει, Πραξινόα· καὶ δὴ γεγενήμεθ' ὄπισθεν,
τοὶ δ' ἔβαν ἐς χώραν.

ΠΡΑΞΙΝΟΑ.

Καὐτὰ συναγείρομαι ἤδη.
Ἵππον καὶ τὸν ψυχρὸν ὄφιν τὰ μάλιστα δεδοίκω
ἐκ παιδός. Σπεύδωμες· ὄχλος πολὺς ἄμμιν ἐπιῤῥεῖ.

ΓΟΡΓΩ.

Ἐξ αὐλᾶς, ὦ μᾶτερ;

ΓΡΑΥΣ.

Ἐγὼ, τέκνα.

ΓΟΡΓΩ.

Εἶτα παρενθεῖν
εὐμαρές;

ΓΡΑΥΣ.

Ἐς Τροίαν πειρώμενοι ἦνθον Ἀχαιοὶ,
καλλίστα παίδων· πείρᾳ θὴν πάντα τελεῖται.

ΓΟΡΓΩ.

Χρησμὼς ἁ πρεσβῦτις ἀπῴχετο θεσπίξασα.

ΠΡΑΞΙΝΟΑ.

Πάντα γυναῖκες ἴσαντι, καὶ ὡς Ζεὺς ἀγάγεθ' Ἥραν.

ΓΟΡΓΩ.

Θᾶσαι, Πραξινόα, περὶ τὰς θύρας ὅσσος ὅμιλος
θεσπέσιος.

ΠΡΑΞΙΝΟΑ.

Γοργοῖ, δὸς τὰν χέρα μοι· λαβὲ καὶ τὺ,

Εὐνόα, Εὐτυχίδος· πότεχ' αὐτᾷ, μήτι πλαναθῇς.
Πᾶσαι ἅμ' εἰσένθωμες· ἀπρὶξ ἔχευ, Εὐνόα, ἁμῶν.
Οἴμοι δειλαία, δίχα μευ τὸ θερίστριον ἤδη
ἔσχισται, Γοργοῖ. Ποττῶ Διὸς, εἴ τι γένοιο
εὐδαίμων, ὤνθρωπε, φυλάσσεο τὠμπέχονόν μευ.

ΞΕΝΟΣ.

Οὐκ ἐπ' ἐμὶν μὲν, ὅμως δὲ φυλαξοῦμαι.

ΠΡΑΞΙΝΟΑ.

Ὄχλος ἄθρως.
Ὠθεῦνθ' ὥσπερ ὗες.

ΞΕΝΟΣ.

Θάρσει, γύναι· ἐν καλῷ εἰμές.

ΠΡΑΞΙΝΟΑ.

Κεἰς ὥρας κἤπειτα, φίλ' ἀνδρῶν, ἐν καλῷ εἴης,
ἄμμε περιστέλλων· χρηστῶ κῳκτίρμονος ἀνδρός.
Φλίβεται Εὐνόα ἄμμιν· ἄγ' ὦ δειλὰ τὺ, βιάζευ.
Κάλλιστ'· ἐνδοῖ πᾶσαι, ὁ τὰν νυὸν εἶπ' ἀποκλάξας.

ΓΟΡΓΩ.

Πραξινόα, πόταγ' ὧδε. Τὰ ποικίλα πρᾶτον ἄθρησον
λεπτὰ καὶ ὡς χαρίεντα· θεῶν περονάματα φασεῖς.

ΠΡΑΞΙΝΟΑ.

Πότνι' Ἀθαναία, ποῖαί σφ' ἐπόνασαν ἔριθοι,
ποῖοι ζωογράφοι τἀκριβέα γράμματ' ἔγραψαν.

Ὡς ἔτυμ' ἑστάκαντι, καὶ ὡς ἔτυμ' ἐνδινεῦντι,
ἔμψυχ', οὐκ ἐνυφαντά· Σοφόν τοι χρῆμ' ὤνθρωπος.
Αὐτὸς δ' ὡς θαητὸς ἐπ' ἀργυρέῳ κατάκειται
κλισμῷ, πρᾶτον ἴουλον ἀπὸ κροτάφων καταβάλλων,
ὁ τριφίλατος Ἄδωνις, ὃ κἠν Ἀχέροντι φιλεῖται.

ἝΤΕΡΟΣ ΞΕΝΟΣ.

Παύσασθ', ὦ δύστανοι, ἀνάνυτα κωτίλλοισαι
τρυγόνες. Ἐκκναισεῦντι πλατειάσδοισαι ἅπαντα.

ΠΡΑΞΙΝΟΑ.

Μᾶ, πόθεν ὤνθρωπος; τί δὲ τίν, εἰ κωτίλαι εἰμές;
Πασάμενος ἐπίτασσε· Συρακοσίαις ἐπιτάσσεις;
Ὡς εἰδῇς καὶ τοῦτο, Κορίνθιαι εἰμὲς ἄνωθεν,
ὡς καὶ ὁ Βελλεροφῶν· Πελοποννασιστὶ λαλεῦμες.
Δωρίσδεν δ' ἔξεστι, δοκῶ, τοῖς Δωριέεσσιν.
Μὴ φυῇ, Μελιτῶδες, ὃς ἁμῶν καρτερὸς εἴη.
Πλὰν ἑνὸς οὐκ ἀλέγω· μή μοι κενεὰν ἀπομάξῃς.

ΓΟΡΓΩ.

Σίγα, Πραξινόα· μέλλει τὸν Ἄδωνιν ἀείδειν
ἁ τᾶς Ἀργείας θυγάτηρ πολύιδρις ἀοιδὸς,
ἅτις καὶ Σπέρχιν τὸν ἰάλεμον ἠρίστευσεν·
φθεγξεῖταί τι (σάφ' οἶδα) καλόν· διαθρύπτεται ἤδη.

ΓΥΝΗ ἈΟΙΔΟΣ.

Δέσποιν', ἃ Γολγώς τε καὶ Ἰδάλιον ἐφίλασας

αἰπεινάν τ' Ἔρυκαν, χρυσῷ παίσδοισ' Ἀφροδίτα,
οἷόν τοι τὸν Ἄδωνιν ἀπ' ἀενάου Ἀχέροντος
μηνὶ δυωδεκάτῳ μαλακαίποδες ἄγαγον Ὧραι.
Βάρδισται μακάρων Ὧραι φίλαι, ἀλλὰ ποθειναὶ
ἔρχονται πάντεσσι βροτοῖς αἰεί τι φορεῦσαι.
Κύπρι Διωναία, τὺ μὲν ἀθανάταν ἀπὸ θνατᾶς,
ἀνθρώπων ὡς μῦθος, ἐποίησας Βερενίκαν,
ἀμβροσίαν ἐς στῆθος ἀποστάξασα γυναικός·
τὶν δὲ χαριζομένα, πολυώνυμε καὶ πολύναε,
ἁ Βερενικεία θυγάτηρ Ἑλένᾳ εἰκυῖα
Ἀρσινόα πάντεσσι καλοῖς ἀτιτάλλει Ἄδωνιν.
Πὰρ μέν οἱ ὥρια κεῖται ὅσα δρυὸς ἄκρα φέρονται,
πὰρ δ' ἁπαλοὶ κᾶποι πεφυλαγμένοι ἐν ταλαρίσκοις
ἀργυρέοις, Συρίω δὲ μύρω χρύσει' ἀλάβαστρα,
εἴδατά θ' ὅσσα γυναῖκες ἐπὶ πλαθάνῳ πονέονται
ἄνθεα μίσγοισαι λευκῷ παντοῖ' ἅμ' ἀλεύρῳ,
ὅσσά τ' ἀπὸ γλυκερῶ μέλιτος τά τ' ἐν ὑγρῷ ἐλαίῳ,
πάντ' αὐτῷ πετεηνὰ καὶ ἑρπετὰ τᾷδε πάρεστιν.
Χλωραὶ δὲ σκιάδες μαλακῷ βρίθοισαι ἀνήθῳ
δέδμανθ'· οἱ δέ τε κῶροι ὑπερπωτῶνται Ἔρωτες,
οἷοι ἀηδονιδῆες ἐφεζόμενοι ἐπὶ δένδρων
πωτῶνται πτερύγων πειρώμενοι ὄζον ἀπ' ὄζω.
Ὦ ἔβενος, ὦ χρυσός, ὦ ἐκ λευκῶ ἐλέφαντος

αἰετοὶ οἰνοχόον Κρονίδᾳ Διὶ παῖδα φέροντες.
Πορφύρεοι δὲ τάπητες ἄνω, μαλακώτεροι ὕπνω
(ἁ Μίλατος ἐρεῖ χὠ τὰν Σαμίαν καταβόσκων),
ἔστρωται κλίνα τῷ 'Αδώνιδι τῷ καλῷ ἄλλα·
τὰν μὲν Κύπρις ἔχει, τὰν δ' ὁ ῥοδόπαχυς Ἄδωνις,
ὀκτωκαιδεκέτης ἢ ἐννεακαίδεχ' ὁ γαμβρός.
Οὐ κεντεῖ τὸ φίλαμ', ἔτι οἱ περὶ χείλεα πυῤῥά.
Νῦν μὰν Κύπρις ἔχοισα τὸν αὑτᾶς χαιρέτω ἄνδρα·
ἀῶθεν δ' ἄμμες νιν ἅμα δρόσῳ ἀθρόαι ἔξω
οἰσεῦμες ποτὶ κύματ' ἐπ' ἀϊόνι πτύοντα,
λύσασαι δὲ κόμαν καὶ ἐπὶ σφυρὰ κόλπον ἀνεῖσαι
στήθεσι φαινομένοις λιγυρᾶς ἀρξώμεθ' ἀοιδᾶς.
Ἕρπεις, ὦ φίλ' Ἄδωνι, καὶ ἐνθάδε κεἰς 'Αχέροντα
ἡμιθέων, ὥς φαντι, μονώτατος. Οὔτ' 'Αγαμέμνων
τοῦτ' ἔπαθ', οὔτ' Αἴας ὁ μέγας βαρυμάνιος ἥρως,
οὔθ' Ἕκτωρ 'Εκάβας ὁ γεραίτερος εἴκοτι παίδων,
οὐ Πατροκλῆς, οὐ Πύῤῥος ἀπὸ Τροίας ἐπανελθὼν,
οὔθ' οἱ ἔτι πρότεροι Λαπίθαι καὶ Δευκαλίωνες,
οὐ Πελοπηϊαδᾶν τε καὶ Ἄργεος ἄκρα Πελασγοί.
Ἵλαθι νῦν, φίλ' Ἄδωνι, καὶ ἐς νέωτ' εὐθυμήσαις.
Καὶ νῦν ἦνθες, Ἄδωνι, καὶ ὄκκ' ἀφίκῃ, φίλος ἥξεις.

ΓΟΡΓΩ.

Πραξινόα, τὸ χρῆμα σοφώτερον ἁ θήλεια.

Ὀλβία, ὅσσα ἴσατι, πανολβία, ὡς γλυκὺ φωνεῖ·
ὥρα ὅμως κεἰς οἶκον· ἀνάριστος Διοκλείδας·
χὠνὴρ ὄξος ἅπαν, πεινᾶντι δὲ μηδὲ ποτένθῃς.
Χαῖρε, Ἄδων' ἀγαπατὲ, καὶ ἐς χαίροντας ἀφίκευ.

ΚΗΡΙΟΚΛΕΠΤΗΣ. Εἰδύλλιον ιθ'.

Τὸν κλέπταν ποτ' Ἔρωτα κακὰ κέντασε μέλισσα
κηρίον ἐκ σίμβλων συλεύμενον, ἄκρα δὲ χειρῶν
δάκτυλα πάνθ' ὑπένυξεν· ὁ δ' ἄλγεε καὶ χέρ' ἐφύση
καὶ τὰν γᾶν ἐπάταξε καὶ ἅλατο, τᾷ δ' Ἀφροδίτᾳ
δεῖξεν τὰν ὀδύναν καὶ μέμφετο, ὅττι γε τυτθὸν
θηρίον ἐντὶ μέλισσα, καὶ ἁλίκα τραύματα ποιεῖ.
Χά μάτηρ γελάσασα· τὺ δ' οὐκ ἴσον ἐσσὶ μελίσσαις;
Χὠ τυτθὸς μὲν ἔῃς, τὰ δὲ τραύματα ἁλίκα ποιεῖς.

ἨΛΑΚΑΤΑ. Εἰδύλλιον κη'.

Γλαυκᾶς, ὦ φιλέριθ' ἀλακάτα, δῶρον Ἀθανάας
γυναιξὶν, νόος οἰκωφελίας αἶσιν ἐπάβολος·
θαρσεῦσ' ἄμμιν ὁμάρτει πόλιν ἐς Νείλεω ἀγλαὰν,
ὅπα Κύπριδος ἱρὸν καλάμω χλωρὸν ὑπαὶ 'παλῶ.

Τᾷδε γὰρ πλόον εὐάνεμον αἰτήμεθα πὰρ Διὸς,
ὅπως ξεῖνον ἐμὸν τέρψομ' ἰδὼν κἀντιφιλήσομαι
Νικίαν, Χαρίτων ἱμεροφώνων ἱερὸν φυτὸν,
καί σε τὰν ἐλέφαντος πολυμόχθω γεγενημέναν
δῶρον Νικιάας εἰς ἀλόχω χέρρας ὀπάσσομεν,
σὺν τᾷ πολλὰ μὲν ἔργ' ἐκτελέσεις ἀνδρείοις
πέπλοις,
πολλὰ δ' οἷα γυναῖκες φορέοισ' ὑδάτινα βράκη.
Δὶς γὰρ ματέρες ἀρνῶν μαλακὼς ἐν βοτάνᾳ πόκως
πέξαιντ' αὐτοετεὶ, Θευγενίδος γ' ἔννεκ' ἐϋσφύρω·
οὕτως ἀνυσίεργος, φιλέει δ' ὅσσα σαόφρονες.
Οὐ γὰρ εἰς ἀκίρας οὐδ' ἐς ἀέργω κεν ἐβολλόμαν
ὀπάσαι σε δόμοις ἀμμετέρας εὖσαν ἀπὸ χθονός.
Καὶ γάρ σοι πατρὶς, ἂν ὠξ Ἐφύρας κτίσσε
ποτ' Ἀρχίας,
νάσω Τρινακρίας μυελὸν, ἀνδρῶν δοκίμων πόλιν.
Νῦν μὰν οἶκον ἔχοισ' ἀνέρος, ὃς πόλλ' ἐδάη σοφὰ
ἀνθρώποισι νόσους φάρμακα λυγρὰς ἀπαλαλκέμεν
οἰκήσεις κατὰ Μίλατον ἐραννὰν μετ' Ἰαόνων,
ὡς εὐαλάκατος Θευγενὶς ἐν δαμότισιν πέλη,
καί οἱ μνᾶστιν ἀεὶ τῶ φιλαοίδω παρέχῃς ξένω.
Κεῖνο γάρ τις ἐρεῖ τὤπος ἰδών σ'· ἦ μεγάλα χάρις
δώρῳ σὺν ὀλίγῳ· πάντα δὲ τιματὰ τὰ πὰρ φίλω.

BION.
EPITAPHIUM ADONIDIS.

Εἰδύλλιον α'.

Αἰάζω τὸν Ἄδωνιν· ἀπώλετο καλὸς Ἄδωνις.
Ὤλετο καλὸς Ἄδωνις, ἐπαιάζουσιν Ἔρωτες.
Μηκέτι πορφυρέοις ἐνὶ φάρεσι, Κύπρι, κάθευδε·
ἔγρεο δειλαία κυανοστόλε καὶ πλατάγησον
στήθεα καὶ λέγε πᾶσιν· ἀπώλετο καλὸς Ἄδωνις.
Αἰάζω τὸν Ἄδωνιν· ἐπαιάζουσιν Ἔρωτες.
Κεῖται καλὸς Ἄδωνις ἐν ὤρεσι, μηρὸν ὀδόντι
λευκῷ λευκὸν ὀδόντι τυπεὶς, καὶ Κύπριν ἀνιῇ
λεπτὸν ἀποψύχων· τὸ δέ οἱ μέλαν εἴβεται αἷμα
χιονέας κατὰ σαρκὸς, ὑπ' ὀφρύσι δ' ὄμματα ναρκῇ,
καὶ τὸ ῥόδον φεύγει τῶ χείλευς· ἀμφὶ δὲ τήνῳ
θνάσκει καὶ τὸ φίλαμα, τὸ μήποτε Κύπρις ἀφήσει.
Κύπριδι μὲν τὸ φίλαμα, καὶ οὐ ζώοντος ἀρέσκει,
ἀλλ' οὐκ οἶδεν Ἄδωνις, ὅ νιν θνάσκοντ' ἐφίλασεν.
Αἰάζω τὸν Ἄδωνιν· ἐπαιάζουσιν Ἔρωτες.
Ἄγριον ἄγριον ἕλκος ἔχει κατὰ μηρὸν Ἄδωνις·
μεῖζον δ' ἁ Κυθέρεια φέρει ποτικάρδιον ἕλκος.
Κεῖνον μὲν περὶ παῖδα φίλοι κύνες ὠδύραντο,
καὶ Νύμφαι κλαίουσιν ὀρειάδες· ἁ δ' Ἀφροδίτα

λυσαμένα πλοκαμῖδας ἀνὰ δρυμὼς ἀλάληται
πενθαλέα νήπεπλος ἀσάνδαλος, αἱ δὲ βάτοι νιν
ἐρχομέναν κείροντι καὶ ἱερὸν αἷμα δρέπονται·
ὀξὺ δὲ κωκύουσα δι' ἄγκεα μακρὰ φορεῖται,
Ἀσσύριον βοόωσα πόσιν καὶ παῖδα καλεῦσα.
Ἀμφὶ δέ νιν μέλαν αἷμα παρ' ὀμφαλὸν ἠωρεῖτο,
στήθεα δ' ἐκ μηρῶν φοινίσσετο, οἱ δ' ὑπὸ μαζοὶ
χιόνεοι τὸ πάροιθεν Ἀδώνιδι πορφύροντο.
Αἰαῖ τὰν Κυθέρειαν, ἐπαιάζουσιν Ἔρωτες.
Ὤλεσε τὸν καλὸν ἄνδρα, συνώλεσεν ἱερὸν εἶδος.
Κύπριδι μὲν καλὸν εἶδος, ὅτε ζώεσκεν Ἄδωνις·
κάτθανε δ' ἁ μορφὰ σὺν Ἀδώνιδι Κύπριδος. Αἰαῖ
ὤρεα πάντα λέγοντι καὶ αἱ δρύες, αἲ τὸν Ἄδωνιν,
καὶ ποταμοὶ κλαίοντι τὰ πένθεα τᾶς Ἀφροδίτας,
καὶ παγαὶ τὸν Ἄδωνιν ἐν ὤρεσι δακρύοντι,
ἄνθεα δ' ἐξ ὀδύνας ἐρυθαίνεται· ἁ δὲ Κυθήρα
πάντας ἀνὰ κναμὼς, ἀνὰ πᾶν νάπος οἰκτρὸν ἀείδει·
αἰαῖ τὰν Κυθέρειαν, ἀπώλετο καλὸς Ἄδωνις.
Ἀχὼ δ' ἀντεβόασεν, ἀπώλετο καλὸς Ἄδωνις.
Κύπριδος αἰνὸν ἔρωτα τίς οὐκ ἔκλαυσεν ἂν αἰαῖ;
Ὡς ἴδεν, ὡς ἐνόησεν Ἀδώνιδος ἄσχετον ἕλκος,
ὡς ἴδε φοίνιον αἷμα μαραινομένῳ περὶ μηρῷ,
πάχεας ἀμπετάσασα κινύρετο· μεῖνον Ἄδωνι,

δύσποτμε μεῖνον Ἄδωνι, πανύστατον ὥς σε κιχείω
ὥς σε περιπτύξω, καὶ χείλεα χείλεσι μίξω.
Ἔγρεο τυτθὸν Ἄδωνι, τὸ δ' αὖ πύματόν με φίλασον.
Τοσσοῦτόν με φίλασον ὅσον ζώει τὸ φίλαμα,
ἄχρις ἀπὸ ψυχᾶς ἐς ἐμὸν στόμα κεὶς ἐμὸν ἧπαρ
πνεῦμα τεὸν ῥεύσῃ, τὸ δέ σευ γλυκὺ φίλτρον ἀμέλξω,
ἐκ δὲ πίω τὸν ἔρωτα· φίλαμα δὲ τοῦτο φυλάξω
ὡς αὐτὸν τὸν Ἄδωνιν, ἐπεὶ σύ με δύσμορε φεύγεις.
Φεύγεις μακρὸν Ἄδωνι, καὶ ἔρχεαι εἰς Ἀχέροντα
καὶ στυγνὸν βασιλῆα και ἄγριον· ἁ δὲ τάλαινα
ζώω καὶ θεός ἐμμι, καὶ οὐ δύναμαί σε διώκειν.
Λάμβανε, Περσεφόνα, τὸν ἐμὸν πόσιν· ἐσσὶ γὰρ αὐτὰ
πολλὸν ἐμεῦ κρέσσων, τὸ δὲ πᾶν καλὸν ἐς σὲ καταῤῥεῖ.
Εἰμὶ δ' ἐγὼ πανάποτμος, ἔχω δ' ἀκόρεστον ἀνίαν,
καὶ κλαίω τὸν Ἄδωνιν ὅ μοι θάνε καὶ σεσόβημαι.
Θνάσκεις, ὦ τριπόθατε· πόθος δέ μοι ὡς ὄναρ ἔπτη.
Χήρα δ' ἁ Κυθέρεια, κενοὶ δ' ἀνὰ δώματ' Ἔρωτες.
Σοὶ δ' ἅμα κεστὸς ὄλωλε· τί γὰρ τολμηρὲ κυνάγεις;

Καλὸς ἐὼν τοσσοῦτον ἔμεινας θῆρα παλαίειν ;
Ὧδ' ὀλοφύρατο Κύπρις· ἐπαιάζουσιν Ἔρωτες
αἰαῖ τὰν Κυθέρειαν, ἀπώλετο καλὸς Ἄδωνις.
Δάκρυον ἁ Παφία τόσσον χέει, ὅσσον Ἄδωνις
αἷμα χέει· τὰ δὲ πάντα ποτὶ χθονὶ γίνεται ἄνθη·
αἷμα ῥόδον τίκτει, τὰ δὲ δάκρυα τὰν ἀνεμώναν.
Αἰάζω τὸν Ἄδωνιν· ἀπώλετο καλὸς Ἄδωνις.
Μηκέτ' ἐνὶ δρυμοῖσι τὸν ἀνέρα μύρεο, Κύπρι.
Ἔστ' ἀγαθὰ στιβὰς, ἔστιν Ἀδώνιδι φυλλὰς ἑτοίμα·
λέκτρον ἔχει, Κυθέρεια, τὸ σόν· σὺ δὲ νεκρὸς, Ἄδωνι.
Καὶ νέκυς ὢν καλός ἐσσι, καλὸς νέκυς, οἷα καθεύδων.
Κάτθεό νιν μαλακοῖς ἐνὶ φάρεσιν, οἷς ἐνίαυεν,
οἷς μετὰ σεῦ ἀνὰ νύκτα τὸν ἱερὸν ὕπνον ἐμόχθει,
παγχρύσῳ κλιντῆρι· ποθεῖ καὶ στυγνὸν Ἄδωνιν.
Βάλλε δ' ἐνὶ στεφάνοισι καὶ ἄνθεσι· πάντα σὺν αὐτῷ,
ὡς τῆνος τέθνακε, κατ' ἄνθεα πάντ' ἐμαράνθη.
Ῥαῖνε δέ νιν καλοῖσιν ἀλείφασι, ῥαῖνε μύροισιν.
Ὀλλύσθω μύρα πάντα· τὸ σὸν μύρον ὤλετ' Ἄδωνις.
Κέκλιται ἁβρὸς Ἄδωνις ἐν εἵμασι πορφυρέοισιν·

ἀμφὶ δέ νιν κλαίοντες ἀναστενάχουσιν Ἔρωτες,
κειράμενοι χαίτας ἐπ' Ἀδώνιδι· χὠ μὲν ὀϊστὼς,
ὃς δ' ἐπὶ τόξον ἔβαιν', ὃς δ' εὔπτερον ἆγε
φαρέτραν,
χὠ μὲν ἔλυσε πέδιλον Ἀδώνιδος, οἱ δὲ λέβησι
χρυσείοις φορέουσιν ὕδωρ, ὁ δὲ μηρία λούει,
ὃς δ' ὄπιθεν πτερύγεσσιν ἀναψύχει τὸν Ἄδωνιν.
Αἰαῖ τὰν Κυθέρειαν, ἐπαιάζουσιν Ἔρωτες.
Ἔσβεσε λαμπάδα πᾶσαν ἐπὶ φλιαῖς Ὑμέναιος,
καὶ στέφος ἐξεπέτασσε γαμήλιον. Οὐκέτι δ' ὑμὰν,
ὑμὰν οὐκέτ' ἀειδόμενον μέλος, ᾄδεται αἰαῖ.
Αἰαῖ καὶ τὸν Ἄδωνιν, ἔτι πλέον αἲ Ὑμέναιον.
Αἱ Χάριτες κλαίοντι τὸν υἱέα τὸν Κινύραο,
ὤλετο καλὸς Ἄδωνις, ἐν ἀλλήλαισι λέγοισαι.
Αὐταὶ δ' ὀξὺ λέγοντι πολὺ πλέον ἢ τὺ, Διώνα.
Καὶ Μοῖσαι τὸν Ἄδωνιν ἀνακλαίουσιν· Ἄδωνιν
αἱ μὲν ἐπαείδουσι, ὁ δέ σφισιν οὐκ ἐπακούει.
Οὐ μὰν οὐκ ἐθέλει, Κώρα δέ νιν οὐκ ἀπολύει.
Λῆγε γόων Κυθέρεια, τὸ σήμερον ἴσχεο κομμῶν.
Δεῖ σε πάλιν κλαῦσαι, πάλιν εἰς ἔτος ἄλλο
δακρῦσαι.



MOSCHUS SYRACUSIUS.

ΈΡΩΣ ΔΡΑΠΕΤΗΣ. Εἰδύλλιον α'.

Ἁ Κύπρις τὸν Ἔρωτα τὸν υἱέα μακρὸν ἐϐώστρει·
εἴ τις ἐνὶ τριόδοισι πλανώμενον εἶδεν Ἔρωτα,
δραπετίδας ἐμός ἐστιν· ὁ μανυτὰς γέρας ἑξεῖ·
μισθός τοι τὸ φίλαμα τὸ Κύπριδος· ἢν δ' ἀγάγῃς νιν
οὐ γυμνὸν τὸ φίλαμα, τὺ δ' ὦ ξένε καὶ πλέον ἑξεῖς·
ἔστι δ' ὁ παῖς περίσαμος· ἐν εἴκοσι πᾶσι μάθοις νιν.
Χρῶτα μὲν οὐ λευκὸς, πυρὶ δ' εἴκελος· ὄμματα δ' αὐτῷ
δριμύλα καὶ φλογόεντα· κακαὶ φρένες, ἁδὺ λάλημα·
οὐ γὰρ ἴσον νοέει καὶ φθέγγεται· ὡς μέλι φωνὰ,
ἐν δὲ χολὰ, νόος ἐστὶν ἀνάμερος· ἠπεροπευτὰς,
οὐδὲν ἀλαθεύων, δόλιον βρέφος, ἄγρια παίσδει.
Εὐπλόκαμον τὸ κάρανον, ἔχει δ' ἰταμὸν τὸ πρόσωπον.
Μικκύλα μὲν τήνω τὰ χερύδρια, μακρὰ δὲ βάλλει,
βάλλει κεἰς 'Αχέροντα καὶ 'Αϊδέω βασιλῆα.
Γυμνὸς μὲν τό γε σῶμα, νόος δέ οἱ ἐμπεπύκασται.
Καὶ πτερόεις ὅσον ὄρνις ἐφίπταται ἄλλοτ' ἐπ' ἄλλους

ἀνέρας ἠδὴ γυναῖκας, ἐπὶ σπλάγνοις δὲ κάθηται.
Τόξον ἔχει μάλα βαιὸν, ὑπὲρ τόξῳ δὲ βέλεμνον·
τυτθὸν ἀεὶ τὸ βέλεμνον, ἐς αἰθέρα δ' ἄχρι φορεῖται.
Καὶ χρύσεον περὶ νῶτα φαρέτριον, ἔνδοθι δ' ἐντὶ
τοὶ πικροὶ κάλαμοι, τοῖς πολλάκι κἠμὲ τιτρώσκει.
Πάντα μὲν ἄγρια, πάντα· πολὺ πλεῖον δ' ἐνὶ αὐτῷ
βαιὰ λαμπὰς ἐοῖσα τὸν Ἅλιον αὐτὸν ἀναίθει.
Ἢν τύ γ' ἕλῃς τῆνον, δαμάσας ἄγε μηδ' ἐλεήσῃς.
Κἢν ποτ' ἴδῃς κλαίοντα, φυλάσσεο μή σε πλανήσῃ.
Κἢν γελάῃ, τύ νιν ἕλκε· καὶ ἢν ἐθέλῃ σε φιλᾶσαι,
φεῦγε· κακὸν τὸ φίλαμα, τὰ χείλεα φάρμακόν ἐντι.
Ἢν δὲ λέγῃ « λαβὲ ταῦτα, χαρίζομαι ὅσσα μοι ὅπλα »,
μή τι θίγῃς πλάνα δῶρα· τὰ γὰρ πυρὶ πάντα βέβαπται.



PINDARI OLYMPIA.

ΔΙΑΓΟΡᾼ ῬΟΔΙῼ ΠΥΚΤῌ.

Εἶδος ζ΄.

(Quam Oden veteres scribunt adeo probatam fuisse olim, ut aureis litteris in Minervæ templo inscripta consecratur).

ϛροφὴ α΄. κώλων ια΄.

Φιάλαν ὡσεί τις ἀ-
φνειᾶς ἀπὸ χειρὸς ἑλὼν,
ἀμπέλου ἔνδον καχλάζοι-
σαν δρόσῳ, δωρήσεται
νεανίᾳ γαμβρῷ, προπίνων
οἴκοθεν οἴκαδε, πάγ-
χρυσον, κορυφὰν κτεάνων,
συμποσίου τε χάριν, κᾶδός τε τιμά-
σας ἑὸν, ἐν δὲ, φίλων
παρεόντων, θῆκέ μιν ζα-
λωτὸν ὁμόφρονος εὐνᾶς·

ἀντιϛροφὴ α΄. κώλων ια΄.

καὶ ἐγὼ νέκταρ χυτὸν,
Μοισᾶν δόσιν, ἀθλοφόροις
ἀνδράσιν πέμπων, γλυκὺν καρ-
πὸν φρενός γ', ἱλάσκομαι
Οὐλυμπίᾳ Πυθοῖ τε νικών-
τεσσιν. Ὁ δ' ὄλβιος, ὃν
φᾶμαι κατέχοντ' ἀγαθαί.
Ἄλλοτε δ' ἄλλον ἐποπτεύει χάρις ζω-
θάλμιος, ἁδυμελεῖ
θ' ἅμα μὲν φόρμιγγι, παμφώ-
νοισί τ' ἐν ἔντεσιν αὐλῶν.

ἐπῳδὸς α'. κώλων ιγ'.

Καί νυν ὑπ' ἀμφοτέρων,
σὺν Διαγόρᾳ κατέβαν, τὰν ποντίαν
ὑμνέων παῖδ' Ἀφροδίτας,
Ἀελίοιό τε νύμφαν,
Ῥόδον εὐθυμάχαν,
Ὄφρα πελώριον ἄνδρα παρ' Ἀλ-
φειῷ στεφανωσάμενον
αἰνέσω, πυγμᾶς ἄποινα,

καὶ παρὰ Κασταλίᾳ·
πατέρα τε Δαμάγητον ἀδόντα δίκᾳ·
Ἀσίας εὐρυχόρου
Τρίπολιν νᾶσον πέλας
Ἐμβόλῳ ναίοντας, Ἀργείᾳ σὺν αἰχμᾷ.

ϛροφὴ β΄. κώλων ια΄.

Ἐθελήσω τοῖσιν ἐξ
ἀρχᾶς ἀπὸ Τλαπολέμου
ξυνὸν ἀγγέλλων διορθῶ-
σαι λόγων Ἡρακλέος
εὐρυσθενεῖ γέννᾳ. Τὸ μὲν γὰρ
πατρόθεν, ἐκ Διὸς εὔ-
χονται· τὸ δ' Ἀμυντορίδαι
ματρόθεν, Ἀστυδαμείας. Ἀμφὶ δ' ἀνθρώ-
πων φρεσὶν ἀμπλακίαι
ἀναρίθμητοι κρέμανται.
Τοῦτο δ' ἀμάχανον εὑρεῖν,

ἀντιϛροφὴ β΄. κώλων ια΄.

ὅ τι νῦν καὶ ἐν τελευ-

τᾷ φέρτατον ἀνδρὶ τυχεῖν.
Καὶ γὰρ Ἀλκμήνας κασίγνη-
τον νόθον, σκάπτῳ θένων
σκληρᾶς ἐλαίας, ἔκταν' ἐν Τί-
ρυνθι Λικύμνιον, ἐλ-
θόντ' ἐκ θαλάμων Μιδέας,
τᾶσδε ποτὲ χθονὸς οἰκιστὴρ χολωθείς.
Αἱ δὲ φρενῶν ταραχαὶ
παρέπλαξαν καὶ σοφόν. Μαν-
τεύσατο δ' ἐς Θεὸν ἐλθών.

ἐπῳδὸς β'. κώλων ιγ'.

Τῷ μὲν ὁ Χρυσοκόμας
εὐώδεος ἐξ ἀδύτου, ναῶν πλόον
εἶπε Λερναίας ἀπ' ἀκτᾶς
στέλλεν ἐς ἀμφιθάλασσον
νομόν. Ἔνθα ποτὲ
βρέχε Θεῶν βασιλεὺς ὁ μέγας
χρυσαῖς νιφάδεσσι πόλιν,
ἀνίχ' Ἁφαίστου τέχναισι
χαλκελάτῳ πελέκει,
Πατέρος Ἀθαναία κορυφὰν κατ' ἄκραν

ἀνορούσαισ', ἀλάλα-
ξεν ὑπερμάκει βοᾷ·
Οὐρανὸς δ' ἔφριξέ νιν καὶ Γαῖα μάτηρ.

ϛροφὴ γ΄. κώλων ια΄.

Τότε καὶ φαυσίβροτος
δαίμων Ὑπεριονίδας
μέλλων ἔντειλεν φυλάξα-
σθαι χρέος παισὶν φίλοις,
ὡς ἂν Θεᾷ πρῶτοι κτίσαιεν
βωμὸν ἐναργέα, καὶ
σεμνὰν θυσίαν θέμενοι,
Πατρί τε θυμὸν ἰάναιεν, Κόρᾳ τ' ἐγ-
χειβρόμῳ. Ἐν δ' ἀρετὰν
ἔβαλεν καὶ χάρματ' ἀνθρώ-
ποισι Προμαθέος αἰδώς.

ἀντιϛροφὴ γ΄. κώλων ια΄.

Ἐπὶ μὰν βαίνει τι καὶ
λάθας ἀτέκμαρτα νέφος,
καὶ παρέλκει πραγμάτων ὀρ-

θὰν ὁδόν γ' ἔξω φρενῶν.
Καίτοι γὰρ αἰθούσας ἔχοντες
σπέρμ' ἀνέβαν φλογὸς οὐ·
τεῦξαν δ' ἀπύροις ἱεροῖς
ἄλσος ἐν ἀκροπόλει. Κείνοισι μὲν ξαν-
θὰν ἀγαγὼν νεφέλαν,
πολὺν ὗσε χρυσόν. Αὐτὰ
δέ σφισιν ὤπασε τέχναν

ἐπῳδὸς γ'. κώλων ιγ'.

πᾶσαν, ἐπιχθονίων,
γλαυκῶπις, ἀριστοπόνοις χερσὶ κρατεῖν.
Ἔργα δὲ ζωοῖσιν ἑρπόν-
τεσσί θ' ὁμοῖα κέλευθοι
φέρον· ἦν δὲ κλέος
βαθύ. Δαέντι δὲ καὶ σοφία
μείζων ἄδολος τελέθει.
Φαντὶ δ' ἀνθρώπων παλαιαὶ
ῥήσιες, οὔπω, ὅτε
χθόνα δατέοντο Ζεύς τε καὶ Ἀθάνατοι,
φανερὰν ἐν πελάγει
Ῥόδον ἔμμεν ποντίῳ·

ἁλμυροῖς δ' ἐν βένθεσιν νᾶσον κεκρύφθαι.

ϛροφὴ δ'. κώλων ια'.

Ἀπεόντος δ' οὔτις ἔν-
δειξεν λάχος Ἀελίου·
καί ῥά μιν χώρας ἀκλάρω-
τον λίπονθ' ἁγνὸν Θεόν.
Μνασθέντι δὲ Ζεὺς ἄμπαλον μέλ-
λεν θέμεν· ἀλλά μιν οὐκ
εἴασεν· ἐπεὶ πολιᾶς
εἶπε τιν' αὐτὸς ὁρᾷν ἔνδον θαλάσσας
αὐξομέναν πεδόθεν
πολύβοσκον γαῖαν ἀνθρώ-
ποισι, καὶ εὔφρονα μάλοις.

ἀντιϛροφὴ δ'. κώλων ια'.

Ἐκέλευσεν δ' αὐτίκα
χρυσάμπυκα μὲν Λάχεσιν
χεῖρας ἀντεῖναι, Θεῶν δ' ὅρ-
κον μέγαν μὴ παρφάμεν,
ἀλλὰ Κρόνου σὺν παιδὶ νεῦσαι,

φαενὸν ἐς αἰθέρα μιν
πεμφθεῖσαν, ἑᾷ κεφαλᾷ
ἐξοπίσω γέρας ἔσσεσθαι. Τελεύτα-
σαν δὲ λόγων κορυφαὶ
ἐν ἀλαθείᾳ πετοῖσαι.
Βλάστε μὲν ἐξ ἁλὸς ὑγρᾶς

ἐπῳδὸς δ'. κώλων ιγ'.

νᾶσος· ἔχει τέ μιν ὀ-
ξειᾶν ὁ γενέθλιος ἀκτίνων πατὴρ,
πῦρ πνεόντων ἀρχὸς ἵππων.
Ἔνθα Ῥόδῳ ποτὲ μιχθεὶς
Τέκεν ἑπτὰ, σοφώ-
τατα νοήματ' ἐπὶ προτέρων
ἀνδρῶν παραδεξαμένους,
παῖδας· ὧν εἷς μὲν Κάμειρον,
πρεσβύτατόν τε Ἰά-
λυσον ἔτεκεν, Λίνδον τ'. Ἀπάτερθε
δ' ἔχον,
διὰ γαῖαν τρίχα δασ-
σάμενοι, πατρωΐαν
ἀστέων μοῖραν· κέκληνται δέ σφιν ἕδραι.

στροφὴ ε'. κώλων ια'.

Τόθι λύκτρον συμφορᾶς
οἰκτρᾶς γλυκὺ Τλαπολέμῳ
ἵσταται Τιρυνθίων ἀρ-
χαγέτᾳ, ὥσπερ Θεῷ,
μάλων τε κνισσάεσσα πομπὰ,
καὶ κρίσις ἀμφ' ἀέθλοις.
Τῶν ἄνθεσι Διαγόρας
ἐστεφανώσατο δίς· κλεινᾷ τ' ἐν Ἰσθμῷ
τετράκις εὐτυχέων·
Νεμέᾳ τ' ἄλλαν ἐπ' ἄλλᾳ·
καὶ κρανααῖς ἐν Ἀθάναις·

ἀντιστροφὴ ε'. κώλων ια'.

ὅ τ' ἐν Ἄργει χαλκὸς ἔ-
γνω μὶν· τὰ τ' ἐν Ἀρκαδίᾳ
ἔργα· καὶ Θήβαις· ἀγῶνές
τ' ἔννομοι Βοιώτιοι·
Αἴγινα, Πελλάνα τε, νικῶν-
θ' ἑξάκις· ἐν Μεγάροι-
σίν τ' οὐχ ἕτερον λιθίνα

ψᾶφος ἔχει λόγον. Ἀλλ' ὦ Ζεῦ πάτερ νώ-
τοισιν Ἀταβυρίου
μεδέων, τίμα μὲν ὕμνου
τεθμὸν, ὀλυμπιονίκαν

ἐπῳδὸς ε'. κώλων ιγ'.

ἄνδρα τε, πὺξ ἀρετὰν
εὑρόντα· δίδου τέ οἱ αἰδοίαν χάριν,
καὶ ποτ' ἀστῶν, καὶ ποτὶ ξεί-
νων· ἐπεὶ ὕβριος ἐχθρὰν
ὁδὸν εὐθυπορεῖ,
σάφα δαεὶς, ἅτε οἱ πατέρων
ὀρθαὶ φρένες ἐξ ἀγαθῶν
ἔχραον. Μὴ κρύπτε κοινὸν
σπέρμ' ἀπὸ Καλλιάνα-
κτος Ἐρατιδᾶν τοι σὺν χαρίτεσσιν.
Ἔχει
θαλίας καὶ πόλις. Ἐν
δὲ μιᾷ μοίρᾳ χρόνου
ἄλλοτ' ἀλλοῖαι διαιθύσσουσιν αὖραι.

ʼΑΣΩΠΙΧῼ ʼΟΡΧΟΜΕΝΙῼ, ΠΑΙΔΙ ΣΤΑΔΙΕΙ.

Εἶδος ιδʹ, (μονοστροφικόν).
ϛροφὴ αʹ. κώλων ιηʹ.

Καφησίων ὑδάτων λαχοῖ-
σαι, αἵ τε ναίετε καλλίπωλον ἕ-
δραν, ὦ λιπαρᾶς ἀοίδιμοι βασίλειαι
Χάριτες ʼΟρχομενοῦ,
παλαιγόνων Μινυᾶν ἐπίσκοποι,
κλῦτʼ, ἐπεὶ εὔχομαι·
σὺν γὰρ ὑμῖν τὰ τερπνὰ καὶ τὰ γλυκέα
γίνεται πάντα βροτοῖς·
εἰ σοφὸς, εἰ καλὸς, εἴ τις ἀγλαὸς
ἀνήρ. Οὔτε γὰρ Θεοὶ
σεμνᾶν Χαρίταν ἄτερ
κοιρανέοντι χορούς,
οὔτε δαῖτας· ἀλλὰ πάντων
ταμίαι ἔργων ἐν οὐρανῷ,
χρυσότοξον θέμεναι
παρὰ Πύθιον ʼΑπόλλωνα θρόνους,
ἀέναον σέβοντι Πατρὸς
ὀλυμπίοιο τιμάν.

ϛροφὴ β΄. κώλων ιζ΄.

Πότνι' Ἀγλαΐα, φιλησίμολπέ
τ' Εὐφροσύνα, Θεῶν κρατίστου παῖδες,
ἐπάκοοι νῦν· Θαλία τὲ ἐ-
ρασίμολπε, ἰδοῖσα τόνδε
κῶμον ἐπ' εὐμενεῖ τύχᾳ
κοῦφα βιϐῶντα, (Λυδίῳ γὰρ
Ἀσώπιχον ἐν τρόπῳ,
ἐν μελέταις τὲ ἀείδων,
μόλον), οὕνεκ' ὀλυμπιόνικος ἁ Μινύεια
σεῦ ἕκατι, μελαντειχέα δόμον
Φερσεφόνας ἴθι ἀχοῖ,
Πατρὶ κλυτὰν φέροισ' ἀγ-
γελίαν, Κλεόδαμον ὄφρα ἰδοῖσ', υἱ-
ὸν εἴπῃς, ὅτι οἱ νέαν
κόλποισι παρ' εὐδόξοιο Πίσας
ἐστεφάνωσε κυδίμων ἀέθλων
πτεροῖσι χαίταν.

ΜΕΛΙΣΣΩ ΘΗΒΑΙΩ, ἹΠΠΟΙΣ. (ἼΣΘΜΙΑ.)

Εἶδος γ'. ϛροφὴ α'. κώλων ι'.

Εἴ τις ἀνδρῶν εὐτυχάσας,
ἢ σὺν εὐδόξοις ἀέθλοις,
ἢ σθένει πλούτου, κατέχει
φρασὶν αἰανῆ κόρον,
ἄξιος εὐλογίαις ἀστῶν μεμίχθαι.
Ζεῦ, μεγάλαι δ' ἀρεταὶ θνατοῖς ἕπονται
ἐκ σέθεν. Ζώει δὲ μάσσων
ὄλβος ὀπιζομένων· πλαγίαις
δὲ φρένεσσιν οὐχ ὁμῶς πάν-
τα χρόνον θάλλων ὁμιλεῖ.

ἀντιϛροφὴ α'. κώλων ι'.

Εὐκλέων δ' ἔργων ἄποινα.
Χρὴ μὲν ὑμνᾶσαι τὸν ἐσλόν.
Χρὴ δὲ κωμάζοντ' ἀγαναῖς
χαρίτεσσι βαστάσαι.
Ἔστι δὲ καὶ διδύμων ἀέθλων Μελίσσῳ
μοῖρα πρὸς εὐφροσύναν τρέψαι γλυκεῖαν
ἦτορ, ἐν βάσσαισιν Ἰσθμοῦ

δεξαμένῳ στεφάνους, τὰ δὲ κοί-
  λᾳ λέοντος ἐν βαθυστέρ-
νου νάπᾳ, κάρυξε Θήβαν

ἐπῳδὸς α΄. κώλων ια΄.

ἱπποδρομίᾳ κρατέων.
'Ανδρῶν δ' ἀρετὰν
σύμφυτον οὐ κατελέγχει.
Ἴστε μὰν Κλεωνύμου
δόξαν παλαιὰν ἅρμασι·
καὶ ματρόθεν Λαβδακίδαισι
σύννομοι πλούτου, διέστι-
  χον τετραοριᾶν πόνοις.
Αἰὼν δὲ κυλινδομέναις
ἁμέραις ἄλλ' ἄλλοτ' ἐξ-
  άλλαξεν. 'Ατρωτοί γε μὰν παῖδες Θεῶν.



ARISTOPHANIS AVES.



ΧΟΡΟΣ 'ΟΡΝΙΘΩΝ.

Ὦ φίλη, ὦ ξουθὴ,
ὦ φίλτατον ὀρνέων,
πάντων ξύννομε τῶν ἐμῶν
ὕμνων ξύντροφ' ἀηδοῖ,
ἦλθες ἦλθες, ὤφθης,
ἡδὺν φθόγγον ἐμοὶ φέρουσ'.
'Αλλ' ὦ καλλιβόαν κρέκουσ'
αὐλὸν φθέγμασιν ἠρινοῖς,
ἄρχου τῶν ἀναπαίστων.
Ἄγε δὴ φύσιν ἄνδρες ἀμαυρόβιοι, φύλλων γενεᾷ
[προσόμοιοι,
ὀλιγοδρανέες, πλάσματα πηλοῦ, σκιοειδέα φῦλ'
[ἀμενηνὰ,
ἀπτῆνες ἐφημέριοι, ταλαοὶ βροτοὶ, ἀνέρες εἰκε-
[λόνειροι,
πρόσχετε τὸν νοῦν τοῖς ἀθανάτοις ἡμῖν, τοῖς αἰὲν
[ἐοῦσι,
τοῖς αἰθερίοις, τοῖσιν ἀγήρως, τοῖς ἄφθιτα μη-
[δομένοισιν,

ἵν' ἀκούσαντες πάντα παρ' ἡμῶν ὀρθῶς περὶ τῶν
[μετεώρων,
φύσιν οἰωνῶν γένεσίν τε θεῶν ποταμῶν τ' Ἐρέ-
[βους τε Χάους τε
εἰδότες ὀρθῶς παρ' ἐμοῦ Προδίκῳ κλάειν εἴπητε
[τὸ λοιπόν.
Χάος ἦν καὶ Νὺξ Ἔρεβός τε μέλαν πρῶτον
[καὶ Τάρταρος εὐρύς·
γῆ δ' οὐδ' ἀὴρ οὐδ' οὐρανὸς ἦν. Ἐρέβους δ' ἐν
[ἀπείροσι κόλποις
τίκτει πρώτιστον ὑπηνέμιον Νὺξ ἡ μελανόπτερος ᾠὸν
ἐξ οὗ περιτελλομέναις ὥραις ἔβλαστεν Ἔρως ὁ
[ποθεινὸς,
στίλβων νῶτον πτερύγοιν χρυσαῖν, εἰκὼς ἀνεμώ-
[κεσι δίναις.
Οὗτος δὲ Χάει πτερόεντι μιγεὶς νυχίῳ κατὰ Τάρ-
[ταρον εὐρὺν
ἐνεόττευσεν γένος ἡμέτερον, καὶ πρῶτον ἀνήγαγεν
[ἐς φῶς.
Πρότερον δ' οὐκ ἦν γένος ἀθανάτων, πρὶν Ἔρως
[ξυνέμιξεν ἅπαντα·
ξυμμιγνυμένων δ' ἑτέρων ἑτέροις γένετ' οὐρανὸς
[ὠκεανός τε

καὶ γῆ πάντων τε θεῶν μακάρων γένος ἄφθιτον.
[Ὧδε μέν ἐσμεν
πολὺ πρεσβύτατοι πάντων μακάρων. Ἡμεῖς δ'
[ὡς ἐσμὲν Ἔρωτος
πολλοῖς δῆλον· πετόμεσθά τε γὰρ καὶ τοῖσιν ἐρῶ-
[σι σύνεσμεν.
Πολλοὺς δὲ καλοὺς ἀπομωμοκότας παῖδας πρὸς
[τέρμασιν ὥρας
διὰ τὴν ἰσχὺν τὴν ἡμετέραν διεμήρισαν ἄνδρες
[ἐρασταὶ,
ὁ μὲν ὄρτυγα δοὺς, ὁ δὲ πορφυρίων', ὁ δὲ χῆν',
[ὁ δὲ Περσικὸν ὄρνιν.
Πάντα δὲ θνητοῖς ἐστὶν ἀφ' ἡμῶν τῶν ὀρνίθων
[τὰ μέγιστα.
Πρῶτα μὲν ὥρας φαίνομεν ἡμεῖς ἦρος, χειμῶνος,
[ὀπώρας·
σπείρειν μὲν, ὅταν γέρανος κρώζουσ' ἐς τὴν Λι-
[βύην μεταχωρῇ,
καὶ πηδάλιον τότε ναυκλήρῳ φράζει κρεμάσαντι
[καθεύδειν,
εἶτα δ' Ὀρέστῃ χλαῖναν ὑφαίνειν, ἵνα μὴ ῥιγῶν
[ἀποδύῃ.

Ἰκτῖνος δ' αὖ μετὰ ταῦτα φανεὶς ἑτέραν ὥραν [ἀποφαίνει,
ἡνίκα πεκτεῖν ὥρα προβάτων πόκον ἠρινόν· εἶτα [χελιδὼν,
ὅτε χρὴ χλαῖναν πωλεῖν ἤδη καὶ ληδάριόν τι [πρίασθαι.
Ἐσμὲν δ' ὑμῖν Ἄμμων, Δελφοὶ, Δωδώνη, Φοῖ- [βος Ἀπόλλων.
Ἐλθόντες γὰρ πρῶτον ἐπ' ὄρνις, οὕτω πρὸς ἅπαν- [τα τρέπεσθε,
πρός τ' ἐμπορίαν καὶ πρὸς βιότου κτῆσιν καὶ πρὸς [γάμον ἀνδρός·
ὄρνιν τε νομίζετε πάνθ' ὅσαπερ περὶ μαντείας [διακρίνει.
Φήμη γ' ὑμῖν ὄρνις ἐστὶ, πταρμόν τ' ὄρνιθα καλεῖτε,
ξύμβολον ὄρνιν, φωνὴν ὄρνιν, θεράποντ' ὄρνιν, [ὄνον ὄρνιν.
Ἆρ' οὐ φανερῶς ἡμεῖς ὑμῖν ἐσμὲν μαντεῖος [Ἀπόλλων;

Ἢν οὖν ἡμᾶς νομίσητε θεοὺς,
ἕξετε χρῆσθαι μάντεσι Μούσαις,
αὔραις, ὥραις, χειμῶνι, θέρει,
μετρίῳ πνίγει· κοὐκ ἀποδράντες

καθεδούμεθ' ἄνω σεμνυνόμενοι
παρὰ ταῖς νεφέλαις ὥσπερ χὠ Ζεύς·
ἀλλὰ παρόντες δώσομεν ὑμῖν,
αὐτοῖς, παισὶν, παίδων παισὶν,
πλουθυγιείαν,
εὐδαιμονίαν, βίον, εἰρήνην,
νεότητα, γέλωτα, χοροὺς, θαλίας,
γάλα τ' ὀρνίθων·
ὥστε παρέσται κοπιᾶν ὑμῖν
ὑπὸ τῶν ἀγαθῶν·
οὕτω πλουτήσετε πάντες.
Μοῦσα λοχμαία,
τιὸ τιὸ τιὸ τιὸ τιὸ τιὸ τιοτὶξ,
ποικίλη, μεθ' ἧς ἐγὼ
νάπαισι καὶ κορυφαῖς ἐν ὀρείαις
τιὸ τιὸ τιὸ τιοτὶξ,
ἱζόμενος μελίας ἐπὶ φυλλοκόμου,
τιὸ τιὸ τιὸ τιοτὶξ,
δι' ἐμῆς γένυος ξουθῆς μελέων
Πανὶ νόμους ἱεροὺς ἀναφαίνω
σεμνά τε μητρὶ χορεύματ' ὀρείᾳ,
τοτοτοτοτοτοτοτοτοτὶξ,
ἔνθεν ὡσπερεὶ μέλιττα

Φρύνιχος ἀμβροσίων μελέων ἀπεβόσκετο καρπὸν,
[ἀεὶ φέρων γλυκεῖαν ᾠδάν·
Τιὸ τιὸ τιὸ τιοτίξ.
Εἰ μετ' ὀρνίθων τις ὑμῶν, ὦ θεαταὶ, βούλεται
διαπλέκειν ζῶν ἡδέως τὸ λοιπὸν, ὡς ἡμᾶς ἴτω.
Ὅσα γάρ ἐστιν ἐνθάδ' αἰσχρὰ τῷ νόμῳ κρατού-
[μενα,
ταῦτα πάντ' ἐστὶν παρ' ἡμῖν τοῖσιν ὄρνισιν καλά.
Εἰ γὰρ ἐνθάδ' ἐστὶν αἰσχρὸν τὸν πατέρα τύπτειν
[νόμῳ,
τοῦτ' ἐκεῖ καλὸν παρ' ἡμῖν ἐστιν, ἤν τις τῷ πατρὶ
προσδραμὼν εἴπῃ πατάξας, αἶρε πλῆκτρον, εἰ
[μάχει.
Εἰ δὲ τυγχάνει τις ὑμῶν δραπέτης ἐστιγμένος,
ἀτταγᾶς οὗτος παρ' ἡμῖν ποικίλος κεκλήσεται.
Εἰ δὲ τυγχάνει τις ὢν Φρὺξ μηδὲν ἧττον Σπινθάρου,
φρυγίλος ὄρνις ἐνθάδ' ἔσται, τοῦ Φιλήμονος γένους.
Εἰ δὲ δοῦλός ἐστι καὶ Κὰρ ὥσπερ Ἐξηκεστίδης,
φυσάτω πάππους παρ' ἡμῖν, καὶ φανοῦνται φρά-
[τερες.
Εἰ δ' ὁ Πεισίου προδοῦναι τοῖς ἀτίμοις τὰς πύλας
βούλεται, πέρδιξ γενέσθω, τοῦ πατρὸς νεοττίον·
ὡς παρ' ἡμῖν οὐδὲν αἰσχρόν ἐστιν ἐκπερδικίσαι.

Τοιάδε κύκνοι, Ἀντ.
τιὸ τιὸ τιὸ τιὸ τιὸ τιὸ τιοτὶξ,
συμμιγῆ βοὴν ὁμοῦ
πτεροῖς κρέκοντες ἴακχον Ἀπόλλω,
τιὸ τιὸ τιὸ τιοτὶξ,
ὄχθῳ ἐφεζόμενοι παρ' Ἕβρον ποταμὸν,
τιὸ τιὸ τιὸ τιοτὶξ,
διὰ δ' αἰθέριον νέφος ἦλθε βοά·
πτῆξε δὲ ποικίλα φῦλά τε θηρῶν,
κύματά τ' ἔσβεσε νήνεμος αἴθρη,
τοτοτοτοτοτοτοτοτοτοτίξ·
πᾶς δ' ἐπεκτύπησ' Ὄλυμπος·
εἷλε δὲ θάμβος ἄνακτας· Ὀλυμπιάδες δὲ μέλος
[Χάριτες Μοῦσαι τ' ἐπωλόλυξαν·
Τιὸ τιὸ τιὸ τιοτίξ.

Οὐδέν ἐστ' ἄμεινον οὐδ' ἥδιον ἢ φῦσαι πτερά.
Αὐτίχ' ὑμῶν τῶν θεατῶν εἴ τις ἦν ὑπόπτερος,
εἶτα πεινῶν τοῖς χοροῖσι τῶν τραγῳδῶν ἤχθετο,
ἐκπτόμενος ἂν οὗτος ἠρίστησεν ἐλθὼν οἴκαδε,
κᾆτ' ἂν ἐμπλησθεὶς ἐφ' ἡμᾶς αὖθις αὖ κατέπτατο.
Εἴ τε Πατροκλείδης τις ὑμῶν τυγχάνει χεζητιῶν,
οὐκ ἂν ἐξίδισεν ἐς θοἰμάτιον, ἀλλ' ἀνέπτατο,
κἀποπαρδὼν κἀναπνεύσας αὖθις αὖ κατέπτατο·

εἴ τε μοιχεύων τις ὑμῶν ἐστιν ὅστις τυγχάνει,
κᾆθ' ὁρᾷ τὸν ἄνδρα τῆς γυναικὸς ἐν βουλευτικῷ,
οὗτος ἂν πάλιν παρ' ὑμῶν πτερυγίσας ἀνέπτατο,
εἶτα βινήσας ἐκεῖθεν αὖθις αὖ καθέζετο.
Ἆρ' ὑπόπτερον γενέσθαι παντός ἐστιν ἄξιον;
ὡς Διιτρέφης γε πυτιναῖα μόνον ἔχων πτερὰ
ᾑρέθη φύλαρχος, εἶθ' ἵππαρχος, εἶτ' ἐξ οὐδενὸς
μεγάλα πράττει κἀστὶ νυνὶ ξουθὸς ἱππαλεκτρυών.

EURIPIDIS HECUBA.

Cum mactanda esset Polyxena Ulyssem alloquitur.

ΠΟΛΥΞΕΝΗ.

Ὁρῶ σ', Ὀδυσσεῦ, δεξιὰν ὑφ' εἵματος
κρύπτοντα χεῖρα, καὶ πρόσωπον ἔμπαλιν
στρέφοντα, μή σου προσθίγω γενειάδος.
Θάρσει· πέφευγας τὸν ἐμὸν ἱκέσιον Δία·
ὡς ἕψομαί γε, τοῦ τ' ἀναγκαίου χάριν
θανεῖν τε χρῄζουσ'· εἰ δὲ μὴ βουλήσομαι,
κακὴ φανοῦμαι καὶ φιλόψυχος γυνή.
Τί γάρ με δεῖ ζῆν; ᾗ πατὴρ μὲν ἦν ἄναξ

Φρυγῶν ἁπάντων· τοῦτό μοι πρῶτον βίου·
ἔπειτ' ἐθρέφθην ἐλπίδων καλῶν ὕπο,
βασιλεῦσι νύμφη, ζῆλον οὐ σμικρὸν γάμων
ἔχουσ', ὅτου δῶμ' ἑστίαν τ' ἀφίξομαι·
δέσποινα δ' ἡ δύστηνος Ἰδαίαισιν ἦν
γυναιξὶ, παρθένοις ἀπόβλεπτος μέτα,
ἴση θεοῖσι, πλὴν τὸ κατθανεῖν μόνον·
νῦν δ' εἰμὶ δούλη. Πρῶτα μέν με τοὔνομα
θανεῖν ἐρᾶν τίθησιν, οὐκ εἰωθὸς ὄν·
ἔπειτ' ἴσως ἂν δεσποτῶν ὠμῶν φρένας
τύχοιμ' ἂν, ὅστις ἀργύρου μ' ὠνήσεται,
τὴν Ἕκτορός τε χἀτέρων πολλῶν κάσιν,
προσθεὶς δ' ἀνάγκην σιτοποιὸν ἐν δόμοις,
σαίρειν τε δῶμα κερκίσιν τ' ἐφεστάναι
λυπρὰν ἄγουσαν ἡμέραν μ' ἀναγκάσει·
λέχη δὲ τἀμὰ δοῦλος ὠνητός ποθεν
χρανεῖ, τυράννων πρόσθεν ἠξιωμένα.
Οὐ δῆτ'· ἀφίημ' ὀμμάτων ἐλεύθερον
φέγγος τόδ', Ἅδῃ προστιθεῖσ' ἐμὸν δέμας.
Ἄγ' οὖν μ', Ὀδυσσεῦ, καὶ διέργασαί μ' ἄγων·
οὔτ' ἐλπίδος γὰρ οὔτε του δόξης ὁρῶ
θάρσος παρ' ἡμῖν ὥς ποτ' εὖ πρᾶξαί με χρή.
Μῆτερ, σὺ δ' ἡμῖν μηδὲν ἐμποδὼν γένῃ

λέγουσα μηδὲ δρῶσα· συμβούλου δέ μοι
θανεῖν, πρὶν αἰσχρῶν μὴ κατ' ἀξίαν τυχεῖν.
Ὅστις γὰρ οὐκ εἴωθε γεύεσθαι κακῶν,
φέρει μὲν, ἀλγεῖ δ' αὐχέν' ἐντιθεὶς ζυγῷ·
θανὼν δ' ἂν εἴη μᾶλλον εὐτυχέστερος
ἢ ζῶν· τὸ γὰρ ζῆν μὴ καλῶς μέγας πόνος.

Talthybius Hecubæ narrat Polyxenæ immolationem.

ΤΑΛΘΥΒΙΟΣ.

Διπλᾶ με χρῄζεις δάκρυα κερδᾶναι, γύναι,
σῆς παιδὸς οἴκτῳ· νῦν τε γὰρ λέγων κακὰ
τέγξω τόδ' ὄμμα, πρὸς τάφῳ θ', ὅτ' ὤλλυτο.
Παρῆν μὲν ὄχλος πᾶς Ἀχαϊκοῦ στρατοῦ
πλήρης πρὸ τύμβου σῆς κόρης ἐπὶ σφαγάς·
λαβὼν δ' Ἀχιλλέως παῖς Πολυξένην χερὸς
ἔστησ' ἐπ' ἄκρου χώματος, πέλας δ' ἐγώ·
λεκτοί τ' Ἀχαιῶν ἔκκριτοι νεανίαι,
σκίρτημα μόσχου σῆς καθέξοντες χεροῖν,
ἕσποντο· πλῆρες δ' ἐν χεροῖν λαβὼν δέπας
πάγχρυσον, ἔρρει χειρὶ παῖς Ἀχιλλέως
χοὰς θανόντι πατρί· σημαίνει δέ μοι

σιγὴν Ἀχαιῶν παντὶ κηρῦξαι στρατῷ.
Κἀγὼ παραστὰς εἶπον ἐν μέσοις τάδε·
σιγᾶτ' Ἀχαιοὶ, σῖγα πᾶς ἔστω λεώς·
σίγα, σιώπα· νήνεμον δ' ἔστησ' ὄχλον.
Ὁ δ' εἶπεν, ὦ παῖ Πηλέως, πατὴρ δ' ἐμὸς,
δέξαι χοάς μοι τάςδε κηλητηρίους,
νεκρῶν ἀγωγούς· ἐλθὲ δ', ὡς πίῃς μέλαν
κόρης ἀκραιφνὲς αἷμ', ὅ σοι δωρούμεθα
στρατός τε κἀγώ· πρευμενὴς δ' ἡμῖν γενοῦ,
λῦσαί τε πρύμνας καὶ χαλινωτήρια
νεῶν δὸς ἡμῖν, πρευμενοῦς τ' ἀπ' Ἰλίου
νόστου τυχόντας πάντας ἐς πάτραν μολεῖν.
Τοσαῦτ' ἔλεξε, πᾶς δ' ἐπηύξατο στρατός.
Εἶτ' ἀμφίχρυσον φάσγανον κώπης λαβὼν
ἐξεῖλκε κολεοῦ, λογάσι δ' Ἀργείων στρατοῦ
νεανίαις ἔνευσε παρθένον λαβεῖν.
Ἡ δ', ὡς ἐφράσθη, τόνδ' ἐσήμηνεν λόγον·
Ὦ τὴν ἐμὴν πέρσαντες Ἀργεῖοι πόλιν,
ἑκοῦσα θνήσκω· μή τις ἅψηται χροὸς
τοὐμοῦ· παρέξω γὰρ δέρην εὐκαρδίως.
Ἐλευθέραν δέ μ', ὡς ἐλευθέρα θάνω,
πρὸς θεῶν μεθέντες κτείνατ'· ἐν νεκροῖσι γὰρ
δούλη κεκλῆσθαι βασιλὶς οὖσ' αἰσχύνομαι.

Λαοὶ δ' ἐπεῤῥόθησαν, Ἀγαμέμνων τ' ἄναξ
εἶπεν μεθεῖναι παρθένον νεανίαις.
(Οἱ δ', ὡς τάχιστ' ἤκουσαν ὑστάτην ὄπα,
μεθῆκαν, οὗπερ καὶ μέγιστον ἦν κράτος.)
Κἀπεὶ τόδ' εἰσήκουσε δεσποτῶν ἔπος,
λαβοῦσα πέπλους ἐξ ἄκρας ἐπωμίδος
ἔῤῥηξε λαγόνος ἐς μέσον παρ' ὀμφαλὸν,
μαστούς τ' ἔδειξε στέρνα θ', ὡς ἀγάλματος,
κάλλιστα· καὶ καθεῖσα πρὸς γαῖαν γόνυ
ἔλεξε πάντων τλημονέστατον λόγον·
« Ἰδοὺ τόδ', εἰ μὲν στέρνον, ὦ νεανία,
παίειν προθυμεῖ, παῖσον, εἰ δ' ὑπ' αὐχένα
χρήζεις, πάρεστι λαιμὸς εὐτρεπὴς ὅδε. »
Ὁ δ' οὐ θέλων τε καὶ θέλων, οἴκτῳ κόρης,
τέμνει σιδήρῳ πνεύματος διαῤῥοάς·
κρουνοὶ δ' ἐχώρουν. Ἡ δὲ καὶ θνήσκουσ' ὅμως
πολλὴν πρόνοιαν εἶχεν εὐσχήμως πεσεῖν,
κρύπτουσ' ἃ κρύπτειν ὄμματ' ἀρσένων χρεών.
Ἐπεὶ δ' ἀφῆκε πνεῦμα θανασίμῳ σφαγῇ,
οὐδεὶς τὸν αὐτὸν εἶχεν Ἀργείων πόνον,
ἀλλ' οἱ μὲν αὐτῶν τὴν θανοῦσαν ἐκ χερῶν
φύλλοις ἔβαλλον, οἱ δὲ πληροῦσιν πυρὰν,
κορμοὺς φέροντες πευκίνους· ὁ δ' οὐ φέρων

πρὸς τοῦ φέροντος τοιάδ' ἤκουεν κακά·
ἔστηκας, ὦ κάκιστε, τῇ νεάνιδι
οὐ πέπλον οὐδὲ κόσμον ἐν χεροῖν ἔχων;
οὐκ εἶ τι δώσων τῇ περίσσ' εὐκαρδίῳ
ψυχήν τ' ἀρίστῃ; Τοιάδ' ἀμφὶ σῆς λέγων
παιδὸς θανούσης, εὐτεκνωτάτην τέ σε
πασῶν γυναικῶν δυστυχεστάτην θ' ὁρῶ.


EURIPIDIS MEDEA.

Medea filios suos arcessitos interficere conatur.

ΜΗΔΕΙΑ.

Δράσω τάδ'. Ἀλλὰ βαῖνε δωμάτων ἔσω,
καὶ παισὶ πόρσυν' οἷα χρὴ καθ' ἡμέραν.
Ὦ τέκνα, τέκνα, σφῷν μὲν ἔστι δὴ πόλις
καὶ δῶμ', ἐν ᾧ λιπόντες ἀθλίαν ἐμὲ
οἰκήσετ' ἀεὶ μητρὸς ἐστερημένοι·
ἐγὼ δ' ἐς ἄλλην γαῖαν εἶμι δὴ φυγάς,
πρὶν σφῷν ὄνασθαι κἀπιδεῖν εὐδαίμονας,
πρὶν λέκτρα καὶ γυναῖκα καὶ γαμηλίους
εὐνὰς ἀγῆλαι λαμπάδας τ' ἀνασχεθεῖν.
Ὦ δυστάλαινα τῆς ἐμῆς αὐθαδίας.
Ἄλλως ἄρ' ὑμᾶς, ὦ τέκν', ἐξεθρεψάμην,

ἄλλως δ' ἐμόχθουν καὶ κατεξάνθην πόνοις,
στεῤῥὰς ἐνεγκοῦσ' ἐν τόκοις ἀλγηδόνας.
Ἦ μήν ποθ' ἡ δύστηνος εἶχον ἐλπίδας
πολλὰς ἐν ὑμῖν γηροβοσκήσειν τ' ἐμὲ
καὶ κατθανοῦσαν χερσὶν εὖ περιστελεῖν,
ζηλωτὸν ἀνθρώποισι· νῦν δ' ὄλωλε δὴ
γλυκεῖα φροντίς. Σφῶν γὰρ στερημένη
λυπρὸν διάξω βίοτον ἀλγεινόν τ' ἐμοί.
Ὑμεῖς δὲ μητέρ' οὐκέτ' ὄμμασιν φίλοις
ὄψεσθ', ἐς ἄλλο σχῆμ' ἀποστάντες βίου.
Φεῦ φεῦ· τί προσδέρκεσθέ μ' ὄμμασιν, τέκνα;
τί προσγελᾶτε τὸν πανύστατον γέλων;
Αἰαῖ· τί δράσω; καρδία γὰρ οἴχεται,
γυναῖκες, ὄμμα φαιδρὸν ὡς εἶδον τέκνων.
Οὐκ ἂν δυναίμην· χαιρέτω βουλεύματα
τὰ πρόσθεν· ἄξω παῖδας ἐκ γαίας ἐμούς.
Τί δεῖ με πατέρα τῶνδε τοῖς τούτων κακοῖς
λυποῦσαν αὐτὴν δὶς τόσα κτᾶσθαι κακά;
Οὐ δῆτ' ἔγωγε. Χαιρέτω βουλεύματα.
Καίτοι τί πάσχω; βούλομαι γέλωτ' ὀφλεῖν
ἐχθροὺς μεθεῖσα τοὺς ἐμοὺς ἀζημίους;
Τολμητέον τάδ'. Ἀλλὰ τῆς ἐμῆς κάκης,
τὸ καὶ προέσθαι μαλθακοὺς λόγους φρενί.



Χωρεῖτε, παῖδες, ἐς δόμους· ὅτῳ δὲ μὴ
θέμις παρεῖναι τοῖς ἐμοῖσι θύμασιν,
αὐτῷ μελήσει· χεῖρα δ' οὐ διαφθερῶ.

Ἆ ἆ.

Μὴ δῆτα, θυμὲ, μὴ σύ γ' ἐργάσῃ τάδε·
ἔασον αὐτοὺς, ὦ τάλαν, φεῖσαι τέκνων·
ἐκεῖ μεθ' ἡμῶν ζῶντες εὐφρανοῦσί σε.
Μὰ τοὺς παρ' Ἅδην νερτέρους ἀλάστορας,
οὔτοι ποτ' ἔσται τοῦθ' ὅπως ἐχθροῖς ἐγὼ
παῖδας παρήσω τοὺς ἐμοὺς καθυβρίσαι.
Πάντως σφ' ἀνάγκη κατθανεῖν· ἐπεὶ δὲ χρὴ,
ἡμεῖς κτενοῦμεν, οἵπερ ἐξεφύσαμεν.
Πάντως πέπρωται ταῦτα, κοὐκ ἐκφεύξεται.
Καὶ δὴ 'πὶ κρατὶ στέφανος, ἐν πέπλοισί τε
νύμφη τύραννος ὄλλυται, σάφ' οἶδ' ἐγώ.
Ἀλλ' εἶμι γὰρ δὴ τλημονεστάτην ὁδὸν,
καὶ τούσδε πέμψω τλημονεστέραν ἔτι,
παῖδας προσειπεῖν βούλομαι. Δότ' ὦ τέκνα,
δότ' ἀσπάσασθαι μητρὶ δεξιὰν χέρα.
Ὦ φιλτάτη χεὶρ, φίλτατον δέ μοι στόμα,
καὶ σχῆμα καὶ πρόσωπον εὐγενὲς τέκνων,
εὐδαιμονοῖτον, ἀλλ' ἐκεῖ· τὰ δ' ἐνθάδε
πατὴρ ἀφείλετ'. Ὦ γλυκεῖα προσβολὴ,

ὦ μαλθακὸς χρὼς πνεῦμά θ' ἥδιστον τέκνων.
Χωρεῖτε, χωρεῖτ'· οὐκέτ' εἰμὶ προσβλέπειν
οἵα τ' ἐς ὑμᾶς, ἀλλὰ νικῶμαι κακοῖς.
Καὶ μανθάνω μὲν οἷα δρᾶν μέλλω κακά·
θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων,
ὅσπερ μεγίστων αἴτιος κακῶν βροτοῖς.

SOPHOCLIS AJAX.

Ajax furens se ipsum occidit.

'ΑΙΑΣ.

Ὁ μὲν σφαγεὺς ἕστηκεν ᾗ τομώτατος
γένοιτ' ἄν, εἴ τῳ καὶ λογίζεσθαι σχολὴ,
δῶρον μὲν ἀνδρὸς Ἕκτορος ξένων ἐμοὶ
μάλιστα μισηθέντος, ἐχθίστου θ' ὁρᾶν·
πέπηγε δ' ἐν γῇ πολεμίᾳ τῇ Τρῳάδι,
σιδηροβρῶτι θηγάνῃ νεακονής·
ἔπηξα δ' αὐτὸν εὖ περιστείλας ἐγὼ,
εὐνούστατον τῷδ' ἀνδρὶ διὰ τάχους θανεῖν.
Οὕτω μὲν εὐσκευοῦμεν· ἐκ δὲ τῶνδέ μοι
σὺ πρῶτος, ὦ Ζεῦ, καὶ γὰρ εἰκὸς, ἄρκεσον.
Αἰτήσομαι δέ σ' οὐ μακρὸν γέρας λαχεῖν.

Πέμψον τιν' ἡμῖν ἄγγελον, κακὴν φάτιν
Τεύκρῳ φέροντα, πρῶτος ὥς με βαστάσῃ
πεπτῶτα τῷδε περὶ νεοῤῥάντῳ ξίφει,
καὶ μὴ πρὸς ἐχθρῶν του κατοπτευθεὶς πάρος
ῥιφθῶ κυσὶν πρόβλητος οἰωνοῖς θ' ἕλωρ.
Τοσαῦτά σ', ὦ Ζεῦ, προστρέπω· καλῶ θ' ἅμα
πομπαῖον Ἑρμῆν χθόνιον εὖ με κοιμίσαι,
ξὺν ἀσφαδάστῳ καὶ ταχεῖ πηδήματι
πλευρὰν διαῤῥήξαντα τῷδε φασγάνῳ.
Καλῶ δ' ἀρωγοὺς τὰς ἀεί τε παρθένους
ἀεί θ' ὁρώσας πάντα τὰν βροτοῖς πάθη,
σεμνὰς Ἐρινῦς τανύποδας, μαθεῖν ἐμὲ
πρὸς τῶν Ἀτρειδῶν ὡς διόλλυμαι τάλας.
Ἴτ', ὦ ταχεῖαι ποίνιμοί τ' Ἐρινύες,
γεύεσθε, μὴ φείδεσθε πανδήμου στρατοῦ.
Σὺ δ', ὦ τὸν αἰπὺν οὐρανὸν διφρηλατῶν
Ἥλιε, πατρῴαν τὴν ἐμὴν ὅταν χθόνα
ἴδῃς, ἐπισχὼν χρυσόνωτον ἡνίαν
ἄγγειλον ἄτας τὰς ἐμὰς μόρον τ' ἐμὸν
γέροντι πατρὶ τῇ τε δυστήνῳ τροφῷ.
Ἦ που τάλαινα, τήνδ' ὅταν κλύῃ φάτιν,
ἥσει μέγαν κωκυτὸν ἐν πάσῃ πόλει.
Ἀλλ' οὐδὲν ἔργον ταῦτα θρηνεῖσθαι μάτην·

ἀλλ' ἀρκτέον τὸ πρᾶγμα σὺν τάχει τινί.
Ὦ Θάνατε Θάνατε, νῦν μ' ἐπίσκεψαι μολών·
καίτοι σὲ μὲν κἀκεῖ προσαυδήσω ξυνών.
Σὲ δ', ὦ φαεννῆς ἡμέρας τὸ νῦν σέλας,
καὶ τὸν διφρευτὴν Ἥλιον προσεννέπω,
πανύστατον δὴ κοὔποτ' αὖθις ὕστερον.
Ὦ φέγγος, ὦ γῆς ἱρὸν οἰκείας πέδον
Σαλαμῖνος, ὦ πατρῷον ἑστίας βάθρον,
κλειναί τ' Ἀθῆναι, καὶ τὸ σύντροφον γένος
κρῆναί τε ποταμοί θ' οἵδε, καὶ τὰ Τρωϊκὰ
πεδία προσαυδῶ, χαίρετ'· ὦ τροφῆς ἐμοί,
τοῦθ' ὑμὶν Αἴας τοὔπος ὕστατον θροεῖ·
τὰ δ' ἄλλ' ἐν Ἅδου τοῖς κάτω μυθήσομαι.

SOPHOCLIS ANTIGONE.

Antigone, ob fratrem Polynicem ab ea sepultum, a tyranno Creonte viva in mortuorum specum deducitur.

ἈΝΤΙΓΟΝΗ.

Ὦ τύμβος, ὦ νυμφεῖον, ὦ κατασκαφὴς
οἴκησις ἀείφρουρος, οἷ πορεύομαι
πρὸς τοὺς ἐμαυτῆς, ὧν ἀριθμὸν ἐν νεκροῖς
πλεῖστον δέδεκται Φερσέφασσ' ὀλωλότων·

ὧν λοισθία 'γὼ καὶ κάκιστα δὴ μακρῷ
κάτειμι, πρίν μοι μοῖραν ἐξήκειν βίου.
Ἐλθοῦσα μέντοι κάρτ' ἐν ἐλπίσιν τρέφω
φίλη μὲν ἥξειν πατρὶ, προσφιλὴς δὲ σοὶ,
μῆτερ, φίλη δὲ σοὶ, κασίγνητον κάρα·
ἐπεὶ θανόντας αὐτόχειρ ὑμᾶς ἐγὼ
ἔλουσα κἀκόσμησα κἀπιτυμβίους
χοὰς ἔδωκα· νῦν δὲ, Πολύνεικες, τὸ σὸν
δέμας περιστέλλουσα τοιάδ' ἄρνυμαι.
Καίτοι σ' ἐγὼ 'τίμησα τοῖς φρονοῦσιν εὖ.
Οὔ γάρ ποτ' οὔτ' ἂν εἰ τέκνων μήτηρ ἔφυν,
οὔτ' εἰ πόσις μοι κατθανὼν ἐτήκετο,
βίᾳ πολιτῶν τόνδ' ἂν ἠρόμην πόνον.
Τίνος νόμου δὴ ταῦτα πρὸς χάριν λέγω;
πόσις μὲν ἄν μοι κατθανόντος ἄλλος ἦν,
καὶ παῖς ἀπ' ἄλλου φωτὸς, εἰ τοῦδ' ἤμπλακον,
μητρὸς δ' ἐν Ἅδου καὶ πατρὸς κεκευθότοιν
οὐκ ἔστ' ἀδελφὸς ὅστις ἂν βλάστοι ποτέ.
Τοιῷδε μέντοι σ' ἐκπροτιμήσασ' ἐγὼ
νόμῳ, Κρέοντι ταῦτ' ἔδοξ' ἁμαρτάνειν
καὶ δεινὰ τολμᾶν, ὦ κασίγνητον κάρα.
Καὶ νῦν ἄγει με διὰ χερῶν οὕτω λαβὼν,

ἄλεκτρον, ἀνυμέναιον, οὔτε του γάμου
μέρος λαχοῦσαν οὔτε παιδείου τροφῆς,
ἀλλ' ὧδ' ἔρημος πρὸς φίλων ἡ δύσμορος
ζῶσ' ἐς θανόντων ἔρχομαι κατασκαφάς.
ποίαν παρεξελθοῦσα δαιμόνων δίκην;
Τί χρή με τὴν δύστηνον ἐς θεοὺς ἔτι
βλέπειν; τίν' αὐδᾶν ξυμμάχων; ἐπεί γε δὴ
τὴν δυσσέβειαν εὐσεβοῦσ' ἐκτησάμην.
'Αλλ' εἰ μὲν οὖν τάδ' ἐστὶν ἐν θεοῖς καλά,
παθόντες ἂν ξυγγνοῖμεν ἡμαρτηκότες·
εἰδ' οἵδ' ἁμαρτάνουσι, μὴ πλείω κακὰ
πάθοιεν ἢ καὶ δρῶσιν ἐκδίκως ἐμέ.

SOPHOCLIS OEDIPUS REX.

Iocastæ interitus.

ΈΞΑΓΓΕΛΟΣ.

Ὁ μὲν τάχιστος τῶν λόγων εἰπεῖν τε καὶ
μαθεῖν, τέθνηκε θεῖον Ἰοκάστης κάρα.

ΧΟΡΟΣ.

Ὦ δυστάλαινα, πρὸς τίνος ποτ' αἰτίας;

ΈΞΑΓΓΕΛΟΣ.

Αὐτὴ πρὸς αὑτῆς. Τῶν δὲ πραχθέντων τὰ μὲν

ἄλγιστ' ἄπεστιν· ἡ γὰρ ὄψις οὐ πάρα.
Ὅμως δ', ὅσον γε κἀν ἐμοὶ μνήμης ἔνι,
πεύσει τὰ κείνης ἀθλίας παθήματα.
Ὅπως γὰρ ὀργῇ χρωμένη παρῆλθ' ἔσω
θυρῶνος, ἵετ' εὐθὺ πρὸς τὰ νυμφικὰ
λέχη, κόμην σπῶσ' ἀμφιδεξίοις ἀκμαῖς·
πύλας δ', ὅπως εἰσῆλθ', ἐπιῤῥήξασ' ἔσω
καλεῖ τὸν ἤδη Λάϊον πάλαι νεκρὸν,
μνήμην παλαιῶν σπερμάτων ἔχουσ' ὑφ' ὧν
θάνοι μὲν αὐτὸς, τὴν δὲ τίκτουσαν λίποι
τοῖς οἷσιν αὐτοῦ δύστεκνον παιδουργίαν.
Γοᾶτο δ' εὐνὰς, ἔνθα δύστηνος διπλοῦς
ἐξ ἀνδρὸς ἄνδρα καὶ τέκν' ἐκ τέκνων τέκοι.
Χὤπως μὲν ἐκ τῶνδ' οὐκ ἔτ' οἶδ' ἀπόλλυται.
Βοῶν γὰρ εἰσέπαισεν Οἰδίπους, ὑφ' οὗ
οὐκ ἦν τὸ κείνης ἐκθεάσασθαι κακόν·
ἀλλ' εἰς ἐκεῖνον περιπολοῦντ' ἐλεύσσομεν.
Φοιτᾷ γὰρ ἡμᾶς, ἔγχος ἐξαιτῶν πορεῖν,
γυναῖκά τ' οὐ γυναῖκα, μητρῴαν δ' ὅπου
κίχοι διπλῆν ἄρουραν οὗ τε καὶ τέκνων.
Λυσσῶντι δ' αὐτῷ δαιμόνων δείκνυσί τις·
οὐδεὶς γὰρ ἀνδρῶν, οἳ παρῆμεν ἐγγύθεν.
Δεινὸν δ' ἀΰσας, ὡς ὑφηγητοῦ τινὸς,

πύλαις διπλαῖς ἐνήλατ'· ἐκ δὲ πυθμένων
ἔκλινε κοῖλα κλῇθρα, κἀμπίπτει στέγῃ.
Οὗ δὴ κρεμαστὴν τὴν γυναῖκ' ἐσείδομεν,
πλεκταῖς ἑώραις ἐμπεπλεγμένην. Ὁ δὲ
ὅπως ὁρᾷ νιν, δεινὰ βρυχηθεὶς τάλας,
χαλᾷ κρεμαστὴν ἀρτάνην. Ἐπεὶ δὲ γῇ
ἔκειτο τλήμων, δεινὰ δ' ἦν τἀνθένδ' ὁρᾷν.
Ἀποσπάσας γὰρ εἱμάτων χρυσηλάτους
περόνας ἀπ' αὐτῆς, αἷσιν ἐξεστέλλετο,
ἄρας ἔπαισεν ἄρθρα τῶν αὑτου κύκλων,
αὐδῶν τοιαῦθ', ὁθούνεκ' οὐκ ὄψοιντό νιν
οὔθ' οἷ' ἔπασχεν οὔθ' ὁποῖ' ἔδρα κακὰ,
ἀλλ' ἐν σκότῳ τὸ λοιπὸν οὓς μὲν οὐκ ἔδει
ὀψοίαθ', οὓς δ' ἔχρῃζεν οὐ γνωσοίατο.
Τοιαῦτ' ἐφυμνῶν πολλάκις τε κοὐχ ἅπαξ
ἤρασσ' ἐπαίρων βλέφαρα. Φοίνιαι δ' ὁμοῦ
γλῆναι γένει' ἔτεγγον, οὐδ' ἀνίεσαν
φόνου μυδώσας σταγόνας, ἀλλ' ὁμοῦ μέλας
ὄμβρος χάλαζά θ' αἱματοῦσσ' ἐτέγγετο.
Ὁ πρὶν παλαιὸς δ' ὄλβος ἦν πάροιθε μὲν
ὄλβος δικαίως· νῦν δὲ τῇδε θἠμέρᾳ
στεναγμὸς, ἄτη, θάνατος, αἰσχύνη, κακῶν
ὅσ' ἐστὶ πάντων ὀνόματ', οὐδέν ἐστ' ἀπόν.

Œdipus, effossis sibi oculis, tristissimum fatum suum deplorat.

’ΟΙΔΙΠΟΥΣ.

Ἰοὺ, ἰού· τὰ πάντ’ ἂν ἐξήκοι σαφῆ.
Ὦ φῶς, τελευταῖόν σε προσβλέψαιμι νῦν,
ὅστις πέφασμαι φύς τ’ ἀφ’ ὧν οὐ χρῆν, ξὺν οἷς τ’
οὐ χρῆν ὁμιλῶν, οὕς τέ μ’ οὐκ ἔδει κτανών. . .
Αἰαῖ αἰαῖ.
Φεῦ φεῦ δύστανος ἐγὼ,
ποῖ γᾶς φέρομαι τλάμων;
πᾶ μοι φθογγὰ φοράδην;
Ἰὼ δαῖμον, ἵν’ ἐξήλλου. . .
Ἰὼ σκότου
νέφος ἐμὸν ἀπότροπον, ἐπιπλόμενον ἄφατον,
ἀδάματόν τε καὶ δυσούριστον ὄν.
Οἴμοι,
οἴμοι μάλ’ αὖθις, οἷον εἰσέδυ μ’ ἅμα
κέντρον τε τῶνδ’ οἴστρημα καὶ μνήμη κακῶν. . .
Ἰὼ φίλος,
σὺ μὲν ἐμὸς ἐπίπολος ἔτι μόνιμος; ἔτι γὰρ
ὑπομένεις με τὸν τυφλὸν κηδεύων.
Φεῦ φεῦ.

Οὐ γάρ με λήθεις, ἀλλὰ γιγνώσκω σαφῶς,
καίπερ σκοτεινὸς, τήν γε σὴν αὐδὴν ὅμως. . .
Ἀπόλλων τάδ' ἦν, Ἀπόλλων, φίλοι,
ὁ κακὰ κακὰ τελῶν ἐμὰ τάδ' ἐμὰ πάθεα.
Ἔπαισε δ' αὐτόχειρ νιν οὔτις, ἀλλ' ἐγὼ τλάμων.
Τί γὰρ ἔδει μ' ὁρᾶν,
ὅτῳ γ' ὁρῶντι μηδὲν ἦν ἰδεῖν γλυκύ; . . .
Τί δῆτ' ἐμοὶ βλεπτὸν, ἢ
στερκτὸν, ἢ προσήγορον
ἔτ' ἔστ' ἀκούειν ἡδονᾷ, φίλοι;
Ἀπάγετ' ἐκτόπιον ὅτι τάχιστά με,
ἀπάγετ', ὦ φίλοι, τὸν ὄλεθρον μέγαν,
τὸν καταρατότατον, ἔτι δὲ καὶ θεοῖς
ἐχθρότατον βροτῶν. . .
Ὄλοιθ' ὅστις ἦν ὃς ἀγρίας πέδας
νομάδ' ἐπιποδίας ἔλαβέ μ' ἀπό τε φόνου
ἔρυτο κἀνέσωσεν, οὐδὲν ἐς χάριν πράσσων.
Τότε γὰρ ἂν θανὼν
οὐκ ἦν φίλοισιν οὐδ' ἐμοὶ τοσόνδ' ἄχος. . .
Οὔκουν πατρός γ' ἂν φονεὺς
ἦλθον, οὐδὲ νυμφίος
βροτοῖς ἐκλήθην ὧν ἔφυν ἄπο.
Νῦν δ' ἄθεος μέν εἰμ', ἀνοσίων δὲ παῖς,

ὁμογενὴς δ' ἀφ' ὧν αὐτὸς ἔφυν τάλας.
Εἰ δέ τι πρεσβύτερον ἔτι κακοῦ κακὸν,
τοῦτ' ἔλαχ' Οἰδίπους.

ÆSCHYLI AGAMEMNO.

Bello Troiano confecto, Agamemnonis præco terram patriam salutat.

ΚΗΡΥΞ.

Ἰὼ πατρῷον οὖδας Ἀργείας χθονὸς,
δεκάτῳ σε φέγγει τῷδ' ἀφικόμην ἔτους,
πολλῶν ῥαγεισῶν ἐλπίδων μιᾶς τυχών.
Οὐ γάρ ποτ' ηὔχουν τῇδ' ἐν Ἀργείᾳ χθονὶ
θανὼν μεθέξειν φιλτάτου τάφου μέρος.
Νῦν χαῖρε μὲν χθὼν, χαῖρε δ' ἡλίου φάος,
ὕπατός τε χώρας Ζεὺς, ὁ Πύθιός τ' ἄναξ
τόξοις ἰάπτων μηκέτ' εἰς ἡμᾶς βέλη·
ἅλις παρὰ Σκάμανδρον ἦλθ' ἀνάρσιος·
νῦν δ' αὖτε σωτὴρ ἴσθι κἀπαγώνιος,
ἄναξ Ἄπολλον. Τούς τ' ἀγωνίους θεοὺς
πάντας προσαυδῶ, τόν τ' ἐμὸν τιμάορον
Ἑρμῆν, φίλον κήρυκα, κηρύκων σέβας,

ἥρως τε τοὺς πέμψαντας, εὐμενεῖς πάλιν
στρατὸν δέχεσθαι τὸν λελειμμένον δορός.
Ἰὼ μέλαθρα βασιλέων, φίλαι στέγαι,
σεμνοί τε θᾶκοι, δαίμονές τ' ἀντήλιοι,
εἴ που πάλαι, φαιδροῖσι τοισίδ' ὄμμασι
δέξασθε κόσμῳ βασιλέα πολλῷ χρόνῳ.
Ἥκει γὰρ ὑμῖν φῶς ἐν εὐφρόνῃ φέρων
καὶ τοῖσδ' ἅπασι κοινὸν Ἀγαμέμνων ἄναξ.
Ἀλλ' εὖ νιν ἀσπάσασθε, καὶ γὰρ οὖν πρέπει,
Τροίαν κατασκάψαντα τοῦ δικηφόρου
Διὸς μακέλλῃ, τῇ κατείργασται πέδον.
Βωμοὶ δ' ἄϊστοι καὶ θεῶν ἱδρύματα,
καὶ σπέρμα πάσης ἐξαπόλλυται χθόνος.
Τοιόνδε Τροίᾳ περιβαλὼν ζευκτήριον
ἄναξ Ἀτρείδης πρέσβυς εὐδαίμων ἀνὴρ
ἥκει, τίεσθαι δ' ἀξιώτατος βροτῶν
τῶν νῦν· Πάρις γὰρ οὔτε συντελὴς πόλις
ἐξεύχεται τὸ δρᾶμα τοῦ πάθους πλέον.
Ὀφλὼν γὰρ ἁρπαγῆς τε καὶ κλοπῆς δίκην
τοῦ ῥυσίου θ' ἥμαρτε καὶ πανώλεθρον
αὐτόχθονον πατρῷον ἔθρισεν δόμον.
Διπλᾶ δ' ἔτισαν Πριαμίδαι θἀμάρτια.

Casandra Orestis reditum et ultionem paternæ cædis suamque prædicit.

ΚΑΣΑΝΔΡΑ.

Παπαῖ, οἷον τὸ πῦρ· ἐπέρχεται δέ μοι.
Ὀτοτοῖ, Λύκει' Ἄπολλον, οἲ ἐγὼ ἐγώ.
Αὕτη δίπους λέαινα συγκοιμωμένη
λύκῳ, λέοντος εὐγενοῦς ἀπουσίᾳ,
κτενεῖ με τὴν τάλαιναν· ὡς δὲ φάρμακον
τεύχουσα κἀμοῦ μισθὸν ἐνθήσειν κότῳ
ἐπεύχεται θήγουσα φωτὶ φάσγανον,
ἐμῆς ἀγωγῆς ἀντιτίσασθαι φόνον.
Τί δῆτ' ἐμαυτῆς καταγέλωτ' ἔχω τάδε,
καὶ σκῆπτρα καὶ μαντεῖα περὶ δέρῃ στέφη;
σὲ μὲν πρὸ μοίρας τῆς ἐμῆς διαφθερῶ.
Ἴτ' ἐς φθόρον πεσόντ'· ἐγὼ δ' ἄμ' ἕψομαι·
ἄλλην τιν' ἄτης ἀντ' ἐμοῦ πλουτίζετε.
Ἰδοὺ δ' Ἀπόλλων αὐτὸς ἐκδύων ἐμὲ
χρηστηρίαν ἐσθῆτ'. Ἐπώπτευσας δέ με
κἀν τοῖσδε κόσμοις καταγελωμένην μετὰ
φίλων, ὑπ' ἐχθρῶν, οὐ διχοῤῥόπως, μάτην.
Καλουμένη δὲ φοιτὰς ὡς ἀγύρτρια

πτωχὸς τάλαινα λιμοθνὴς ἠνεσχόμην.
Καὶ νῦν ὁ μάντις μάντιν ἐκπράξας ἐμὲ
ἀπήγαγ' ἐς τοιάσδε θανασίμους τύχας.
Βωμοῦ πατρῴου δ' ἄντ' ἐπίξηνον μένει
θερμῷ κοπείσῃ φοινίῳ προσφάγματι.
Οὐ μὴν ἄτιμοί γ' ἐκ θεῶν τεθνήξομεν.
Ἥξει γὰρ ἡμῶν ἄλλος αὖ τιμάορος,
μητροκτόνον φίτυμα, ποινάτωρ πατρός·
φυγὰς δ' ἀλήτης τῆσδε γῆς ἀπόξενος
κάτεισιν, ἄτας τάσδε θριγκώσων φίλοις·
ὀμώμοται γὰρ ὅρκος ἐκ θεῶν μέγας,
ἄξειν νιν ὑπτίασμα κειμένου πατρός.
Τί δῆτ' ἐγὼ κάτοικος ὧδ' ἀναστένω,
ἐπεὶ τὸ πρῶτον εἶδον Ἰλίου πόλιν
πράξασαν ὡς ἔπραξεν· οἳ δ' εἶχον πόλιν,
οὕτως ἀπαλλάσσουσιν ἐν θεῶν κρίσει;
Ἰοῦσα πράξω, τλήσομαι τὸ κατθανεῖν.
Ἅδου πύλας δὲ τάσδ' ἐγὼ προσεννέπω·
ἐπεύχομαι δὲ καιρίας πληγῆς τυχεῖν,
ὡς ἀσφάδαστος, αἱμάτων εὐθνησίμων
ἀποῤῥυέντων, ὄμμα συμβάλω τόδε.

ÆSCHYLI PROMETHEUS VINCTUS.

Vulcanus Prometheum rupi affigit invitus.

[ΚΡΑΤΟΣ, ῞ΗΦΑΙΣΤΟΣ.]

ΚΡΑΤΟΣ.

Χθονὸς μὲν εἰς τηλουρὸν ἥκομεν πέδον,
Σκύθην ἐς οἶμον, ἄβατον εἰς ἐρημίαν.
῞Ηφαιστε, σοὶ δὲ χρὴ μέλειν ἐπιστολὰς
ἅς σοι πατὴρ ἐφεῖτο, τόνδε πρὸς πέτραις
ὑψηλοκρήμνοις τὸν λεωργὸν ὀχμάσαι
ἀδαμαντίνων δεσμῶν ἐν ἀῤῥήκτοις πέδαις.
Τὸ σὸν γὰρ ἄνθος, παντέχνου πυρὸς σέλας,
θνητοῖσι κλέψας ὤπασεν· τοιᾶσδέ τοι
ἁμαρτίας σφὲ δεῖ θεοῖς δοῦναι δίκην,
ὡς ἂν διδαχθῇ τὴν Διὸς τυραννίδα
στέργειν, φιλανθρώπου δὲ παύεσθαι τρόπου.

῞ΗΦΑΙΣΤΟΣ.

Κράτος Βία τε, σφῷν μὲν ἐντολὴ Διὸς
ἔχει τέλος δὴ κοὐδὲν ἐμποδὼν ἔτι·
ἐγὼ δ' ἄτολμός εἰμι συγγενῆ θεὸν
δῆσαι βίᾳ φάραγγι πρὸς δυσχειμέρῳ.
Πάντως δ' ἀνάγκη τῶνδέ μοι τόλμαν σχεθεῖν·

ἐξωριάζειν γὰρ πατρὸς λόγους βαρύ.
Τῆς ὀρθοβούλου Θέμιδος αἰπυμῆτα παῖ,
ἄκοντά σ' ἄκων δυσλύτοις χαλκεύμασι
προσπασσαλεύσω τῷδ' ἀπανθρώπῳ πάγῳ,
ἵν' οὔτε φωνὴν οὔτε του μορφὴν βροτῶν
ὄψει, σταθευτὸς δ' ἡλίου φοίβῃ φλογὶ
χροιᾶς ἀμείψεις ἄνθος· ἀσμένῳ δέ σοι
ἡ ποικιλείμων νὺξ ἀποκρύψει φάος·
πάχνην θ' ἑῴαν ἥλιος σκεδᾷ πάλιν·
ἀεὶ δὲ τοῦ παρόντος ἀχθηδὼν κακοῦ
τρύσει σ'· ὁ λωφήσων γὰρ οὐ πέφυκέ πω.
Τοιαῦτ' ἐπηύρου τοῦ φιλανθρώπου τρόπου.
Θεὸς θεῶν γὰρ οὐχ ὑποπτήσσων χόλον
βροτοῖσι τιμὰς ὤπασας πέρα δίκης.
Ἀνθ' ὧν ἀτερπῆ τήνδε φρουρήσεις πέτραν,
ὀρθοστάδην, ἄϋπνος, οὐ κάμπτων γόνυ·
πολλοὺς δ' ὀδυρμοὺς καὶ γόους ἀνωφελεῖς
φθέγξει· Διὸς γὰρ δυσπαραίτητοι φρένες·
ἅπας δὲ τραχὺς ὅστις ἂν νέον κρατῇ.

HESIODI OPERA ET DIES.

Aurea hominum ætas.

Χρύσεον μὲν πρώτιστα γένος μερόπων ἀνθρώπων
ἀθάνατοι ποίησαν Ὀλύμπια δώματ᾽ ἔχοντες.
Οἱ μὲν ἐπὶ Κρόνου ἦσαν, ὅτ᾽ οὐρανῷ ἐμβασίλευεν·
ὥςτε θεοὶ δ᾽ ἔζωον ἀκηδέα θυμὸν ἔχοντες,
νόσφιν ἄτερ τε πόνων καὶ ὀϊζύος· οὐδέ τι δειλὸν
γῆρας ἐπῆν, αἰεὶ δὲ πόδας καὶ χεῖρας ὁμοῖοι
τέρποντ᾽ ἐν θαλίῃσι κακῶν ἔκτοσθεν ἁπάντων·
θνῆσκον δ᾽ ὡς ὕπνῳ δεδμημένοι· ἐσθλὰ δὲ πάντα
τοῖσιν ἔην· καρπὸν δ᾽ ἔφερε ζείδωρος ἄρουρα
αὐτομάτη, πολλόν τε καὶ ἄφθονον· οἱ δ᾽ ἐθελημοὶ
ἥσυχοι ἔργ᾽ ἐνέμοντο σὺν ἐσθλοῖσιν πολέεσσιν,
[ἀφνειοὶ μήλοισι, φίλοι μακάρεσσι θεοῖσι.]
Αὐτὰρ ἐπειδὴ τοῦτο γένος κατὰ γαῖα κάλυψεν,
τοὶ μὲν δαίμονές εἰσι Διὸς μεγάλου διὰ βουλὰς
ἐσθλοὶ, ἐπιχθόνιοι, φύλακες θνητῶν ἀνθρώπων·
οἵ ῥα φυλάσσουσίν τε δίκας καὶ σχέτλια ἔργα,
ἠέρα ἑσσάμενοι πάντη φοιτῶντες ἐπ᾽ αἶαν,
πλουτοδόται· καὶ τοῦτο γέρας βασιλήϊον ἔσχον.

Argentea ætas hominum.

Δεύτερον αὖτε γένος πολὺ χειρότερον μετόπισθεν
ἀργύρεον ποίησαν Ὀλύμπια δώματ᾽ ἔχοντες,
χρυσέῳ οὔτε φυὴν ἐναλίγκιον οὔτε νόημα.
Ἀλλ᾽ ἑκατὸν μὲν παῖς ἔτεα παρὰ μητέρι κεδνῇ
ἐτρέφετ᾽ ἀτάλλων, μέγα νήπιος, ᾧ ἐνὶ οἴκῳ·
ἀλλ᾽ ὅτ᾽ ἂν ἡβήσειε καὶ ἥβης μέτρον ἵκοιτο,
παυρίδιον ζώεσκον ἐπὶ χρόνον, ἄλγε᾽ ἔχοντες
ἀφραδίῃς· ὕβριν γὰρ ἀτάσθαλον οὐκ ἐδύναντο
ἀλλήλων ἀπέχειν, οὐδ᾽ ἀθανάτους θεραπεύειν
ἤθελον, οὐδ᾽ ἔρδειν μακάρων ἱεροῖς ἐπὶ βωμοῖς,
ἣ θέμις ἀνθρώποισι κατ᾽ ἤθεα. Τοὺς μὲν ἔπειτα
Ζεὺς Κρονίδης ἔκρυψε χολούμενος, οὕνεχα τιμὰς
οὐκ ἐδίδουν μακάρεσσι θεοῖς οἳ Ὄλυμπον ἔχουσιν.
Αὐτὰρ ἐπεὶ καὶ τοῦτο γένος κατὰ γαῖα κάλυψε,
τοὶ μὲν ὑποχθόνιοι μάκαρες θνητοὶ καλέονται,
δεύτεροι, ἀλλ᾽ ἔμπης τιμὴ καὶ τοῖσιν ὀπηδεῖ.

Ænea ætas hominum.

Ζεὺς δὲ πατὴρ τρίτον ἄλλο γένος μερόπων ἀνθρώπων
χάλκειον ποίησ᾽, οὐκ ἀργυρέῳ οὐδὲν ὁμοῖον,
ἐκ μελιᾶν, δεινόν τε καὶ ὄμβριμον· οἷσιν Ἄρηος
ἔργ᾽ ἔμελε στονόεντα καὶ ὕβριες· οὐδέ τι σῖτον
ἤσθιον, ἀλλ᾽ ἀδάμαντος ἔχον κρατερόφρονα θυμὸν,

ἄπλητοι· μεγάλη δὲ βίη καὶ χεῖρες ἄαπτοι
ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσιν.
Τοῖς δ' ἦν χάλκεα μὲν τεύχεα, χάλκεοι δέ τε οἶκοι·
χαλκῷ δ' εἰργάζοντο· μέλας δ' οὐκ ἔσκε σίδηρος.
Καὶ τοὶ μὲν χείρεσσιν ὕπο σφετέρῃσι δαμέντες
βῆσαν ἐς εὐρώεντα δόμον κρυεροῦ Ἀΐδαο,
νώνυμνοι· θάνατος δὲ καὶ ἐκπάγλους περ ἐόντας
εἷλε μέλας, λαμπρὸν δ' ἔλιπον φάος ἠελίοιο.

Ætas heroum.

Αὐτὰρ ἐπεὶ καὶ τοῦτο γένος κατὰ γαῖα κάλυψεν,
αὖτις ἔτ' ἄλλο τέταρτον ἐπὶ χθονὶ πουλυβοτείρῃ
Ζεὺς Κρονίδης ποίησε, δικαιότερον καὶ ἄρειον,
ἀνδρῶν ἡρώων θεῖον γένος, οἳ καλέονται
ἡμίθεοι προτέρῃ γενεῇ κατ' ἀπείρονα γαῖαν.
Καὶ τοὺς μὲν πόλεμός τε κακὸς καὶ φύλοπις αἰνὴ
τοὺς μὲν ἐφ' ἑπταπύλῳ Θήβῃ, Καδμηΐδι γαίῃ,
ὤλεσε μαρναμένους μήλων ἕνεκ' Οἰδιπόδαο,
τοὺς δὲ καὶ ἐν νήεσσιν ὑπὲρ μέγα λαῖτμα θαλάσσης
ἐς Τροίην ἀγαγὼν Ἑλένης ἕνεκ' ἠϋκόμοιο.
Ἔνθ' ἤτοι τοὺς μὲν θανάτου τέλος ἀμφεκάλυψε·
τοῖς δὲ δίχ' ἀνθρώπων βίοτον καὶ ἤθε' ὀπάσσας
Ζεὺς Κρονίδης κατένασσε πατὴρ ἐς πείρατα γαίης,
τηλοῦ ἀπ' ἀθανάτων· τοῖσιν Κρόνος ἐμβασιλεύει.

Καὶ τοὶ μὲν ναίουσιν ἀκηδέα θυμὸν ἔχοντες
ἐν μακάρων νήσοισι παρ' Ὠκεανὸν βαθυδίνην,
ὄλβιοι ἥρωες, τοῖσιν μελιηδέα καρπὸν
τρὶς ἔτεος θάλλοντα φέρει ζείδωρος ἄρουρα.

Ferrea ætas hominum.

Μηκέτ' ἔπειτ' ὤφειλον ἐγὼ πέμπτοισι μετεῖναι
ἀνδράσιν, ἀλλ' ἢ πρόσθε θανεῖν ἢ ἔπειτα γενέσθαι.
Νῦν γὰρ δὴ γένος ἐστὶ σιδήρεον· οὐδέ ποτ' ἦμαρ
παύσονται καμάτου καὶ ὀϊζύος, οὐδέ τι νύκτωρ
φθειρόμενοι· χαλεπὰς δὲ θεοὶ δώσουσι μερίμνας·
ἀλλ' ἔμπης καὶ τοῖσι μεμίξεται ἐσθλὰ κακοῖσιν.
Ζεὺς δ' ὀλέσει καὶ τοῦτο γένος μερόπων ἀνθρώπων,
εὖτ' ἂν γεινόμενοι πολιοκρόταφοι τελέθωσιν.
Οὐδὲ πατὴρ παίδεσσιν ὁμοίϊος οὐδέ τι παῖδες,
οὐδὲ ξεῖνος ξεινοδόκῳ καὶ ἑταῖρος ἑταίρῳ,
οὐδὲ κασίγνητος φίλος ἔσσεται, ὡς τὸ πάρος περ.
Αἶψα δὲ γηράσκοντας ἀτιμήσουσι τοκῆας·
μέμψονται δ' ἄρα τοὺς χαλεποῖς βάζοντες ἔπεσσι,
σχέτλιοι, οὐδὲ θεῶν ὄπιν εἰδότες· οὐδέ κεν οἵγε
γηράντεσσι τοκεῦσιν ἀπὸ θρεπτήρια δοῖεν,
χειροδίκαι· ἕτερος δ' ἑτέρου πόλιν ἐξαλαπάξει.
Οὐδέ τις εὐόρκου χάρις ἔσσεται οὔτε δικαίου
οὔτ' ἀγαθοῦ, μᾶλλον δὲ κακῶν ῥεκτῆρα καὶ ὕβριν

ἀνέρα τιμήσουσι· δίκη δ' ἐν χερσὶ, καὶ αἰδὼς
οὐκ ἔσται· βλάψει δ' ὁ κακὸς τὸν ἀρείονα φῶτα
μύθοισι σκολιοῖς ἐνέπων, ἐπὶ δ' ὅρκον ὀμεῖται.
Ζῆλος δ' ἀνθρώποισιν ὀϊζυροῖσιν ἅπασιν
δυσκέλαδος, κακόχαρτος ὁμαρτήσει, στυγερώπης.

HOMERI ILIADIS XXII.

Hector et Achilles singulari certamine congrediuntur: Hectoris cædes.

Οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
τὸν πρότερος προσέειπε μέγας κορυθαίολος Ἕκτωρ·
Οὔ σ' ἔτι, Πηλέος υἱὲ, φοβήσομαι, ὡς τὸ πάρος περ.
Τρὶς περὶ ἄστυ μέγα Πριάμου δίον, οὐδέ ποτ' ἔτλην
μεῖναι ἐπερχόμενον· νῦν αὖτέ με θυμὸς ἀνῆκεν
στήμεναι ἀντία σεῖο· ἕλοιμί κεν, ἤ κεν ἁλοίην.
Ἀλλ' ἄγε, δεῦρο θεοὺς ἐπιδώμεθα· τοὶ γὰρ ἄριστοι
μάρτυροι ἔσσονται καὶ ἐπίσκοποι ἁρμονιάων·
οὐ γὰρ ἐγώ σ' ἔκπαγλον ἀεικιῶ, αἴ κεν ἐμοὶ Ζεὺς
δώῃ καμμονίην, σὴν δὲ ψυχὴν ἀφέλωμαι·
ἀλλ' ἐπεὶ ἄρ κέ σε συλήσω κλυτὰ τεύχε', Ἀχιλλεῦ,
νεκρὸν Ἀχαιοῖσιν δώσω πάλιν· ὣς δὲ σὺ ῥέζειν.

Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προςέφη πόδας ὠκὺς Ἀχιλ- [λεύς·
Ἕκτωρ, μή μοι, ἄλαστε, συνημοσύνας ἀγόρευε.
Ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστὰ,
οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονα θυμὸν ἔχουσιν,
ἀλλὰ κακὰ φρονέουσι διαμπερὲς ἀλλήλοισιν·
ὣς οὐκ ἔστ' ἐμὲ καὶ σὲ φιλήμεναι, οὔτε τι νῶϊν
ὅρκια ἔσσονται, πρίν γ' ἢ ἕτερόν γε πεσόντα
αἵματος ἆσαι Ἄρηα, ταλαύρινον πολεμιστήν.
Παντοίης ἀρετῆς μιμνήσκεο· νῦν σε μάλα χρὴ
αἰχμητήν τ' ἔμεναι καὶ θαρσαλέον πολεμιστήν.
Οὔ τοι ἔτ' ἔσθ' ὑπάλυξις· ἄφαρ δέ σε Παλλὰς [Ἀθήνη
ἔγχει ἐμῷ δαμάᾳ· νῦν δ' ἀθρόα πάντ' ἀποτίσεις
κήδε' ἐμῶν ἑτάρων, οὓς ἔκτανες ἔγχεϊ θύων.
Ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος.
Καὶ τὸ μὲν ἄντα ἰδὼν ἠλεύατο φαίδιμος Ἕκτωρ·
ἕζετο γὰρ προϊδὼν, τὸ δ' ὑπέρπτατο χάλκεον ἔγχος,
ἐν γαίῃ δ' ἐπάγη· ἀνὰ δ' ἥρπασε Παλλὰς Ἀθήνη,
ἂψ δ' Ἀχιλῆϊ δίδου, λάθε δ' Ἕκτορα, ποιμένα [λαῶν.
Ἕκτωρ δὲ προςέειπεν ἀμύμονα Πηλείωνα·
Ἤμβροτες, οὐδ' ἄρα πώ τι, θεοῖς ἐπιείκελ' Ἀχιλ- [λεῦ,
ἐκ Διὸς ἠείδης τὸν ἐμὸν μόρον· ἤτοι ἔφης γε·

ἀλλά τις ἀρτιεπὴς καὶ ἐπίκλοπος ἔπλεο μύθων,
ὄφρα σ' ὑποδδείσας μένεος ἀλκῆς τε λάθωμαι.
Οὐ μέν μοι φεύγοντι μεταφρένῳ ἐν δόρυ πήξεις,
ἀλλ' ἰθὺς μεμαῶτι διὰ στήθεσφιν ἔλασσον,
εἴ τοι ἔδωκε θεός· νῦν αὖτ' ἐμὸν ἔγχος ἄλευαι
χάλκεον, ὡς δή μιν σῷ ἐν χροῒ πᾶν κομίσαιο.
Καί κεν ἐλαφρότερος πόλεμος Τρώεσσι γένοιτο,
σεῖο καταφθιμένοιο· σὺ γάρ σφισι πῆμα μέγιστον.
Ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,
καὶ βάλε Πηλείδαο μέσον σάκος, οὐδ' ἀφάμαρτεν·
τῆλε δ' ἀπεπλάγχθη σάκεος δόρυ. Χώσατο δ' Ἕκ-
ὅττι ῥά οἱ βέλος ὠκὺ ἐτώσιον ἔκφυγε χειρός· [τωρ,
στῆ δὲ κατηφήσας, οὐδ' ἄλλ' ἔχε μείλινον ἔγχος·
Δηΐφοβον δ' ἐκάλει λευκάσπιδα μακρὸν ἀΰσας·
ᾔτεέ μιν δόρυ μακρόν· ὁ δ' οὔτι οἱ ἐγγύθεν ἦεν.
Ἕκτωρ δ' ἔγνω ᾗσιν ἐνὶ φρεσὶ φώνησέν τε·
Ὢ πόποι, ἦ μάλα δή με θεοὶ θάνατόνδε κάλεσσαν·
Δηΐφοβον γὰρ ἔγωγ' ἐφάμην ἥρωα παρεῖναι·
ἀλλ' ὁ μὲν ἐν τείχει, ἐμὲ δ' ἐξαπάτησεν Ἀθήνη.
Νῦν δὲ δὴ ἐγγύθι μοι θάνατος κακὸς, οὐδέ τ' ἄνευθεν
οὐδ' ἀλέη· ἦ γάρ ῥα πάλαι τόγε φίλτερον ἦεν
Ζηνί τε καὶ Διὸς υἱεῖ, Ἑκηβόλῳ, οἵ με πάρος γε
πρόφρονες εἰρύατο· νῦν αὖτέ με Μοῖρα κιχάνει·

μὴ μὰν ἀσπουδί γε καὶ ἀκλειῶς ἀπολοίμην,
ἀλλὰ μέγα ῥέξας τι καὶ ἐσσομένοισι πυθέσθαι.
Ὣς ἄρα φωνήσας εἰρύσσατο φάσγανον ὀξὺ,
τό οἱ ὑπὸ λαπάρην τέτατο μέγα τε στιβαρόν τε.
Οἴμησεν δὲ ἀλεὶς, ὥςτ' αἰετὸς ὑψιπετήεις,
ὅςτ' εἶσιν πεδίονδε διὰ νεφέων ἐρεβεννῶν,
ἁρπάξων ἢ ἄρν' ἀμαλὴν ἢ πτῶκα λαγωόν·
ὣς Ἕκτωρ οἴμησε, τινάσσων φάσγανον ὀξύ.
Ὡρμήθη δ' Ἀχιλεὺς, μένεος δ' ἐμπλήσατο θυμὸν
ἀγρίου· πρόσθεν δὲ σάκος στέρνοιο κάλυψεν
καλὸν, δαιδάλεον· κόρυθι δ' ἐπένευε φαεινῇ,
τετραφάλῳ· καλαὶ δὲ περισσείοντο ἔθειραι
χρύσεαι, ἃς Ἥφαιστος ἵει λόφον ἀμφὶ θαμειάς·
οἷος δ' ἀστὴρ εἶσι μετ' ἄστρασι νυκτὸς ἀμολγῷ
ἕσπερος, ὃς κάλλιστος ἐν οὐρανῷ ἵσταται ἀστήρ·
ὣς αἰχμῆς ἀπέλαμπ' εὐήκεος, ἣν ἄρ' Ἀχιλλεὺς
πάλλεν δεξιτερῇ, φρονέων κακὸν Ἕκτορι δίῳ,
εἰσορόων χρόα καλὸν, ὅπῃ εἴξειε μάλιστα.
Τοῦ δὲ καὶ ἄλλο τόσον μὲν ἔχε χρόα χάλκεα τεύχη,
καλὰ, τὰ Πατρόκλοιο βίην ἐνάριξε κατακτάς·
φαίνετο δ', ᾗ κληῗδες ἀπ' ὤμων αὐχέν' ἔχουσιν,
λαυκανίην, ἵνα τε ψυχῆς ὤκιστος ὄλεθρος·
τῇ ῥ' ἐπὶ οἷ μεμαῶτ' ἔλασ' ἔγχεϊ δῖος Ἀχιλλεύς·

ἀντικρὺ δ' ἁπαλοῖο δι' αὐχένος ἤλυθ' ἀκωκή.
Οὐδ' ἄρ' ἀπ' ἀσφάραγον μελίη τάμε χαλκοβάρεια,
ὄφρα τί μιν προτιείποι ἀμειβόμενος ἐπέεσσιν.
Ἤριπε δ' ἐν κονίῃς· ὁ δ' ἐπεύξατο δῖος Ἀχιλλεύς·
Ἕκτορ, ἀτάρ που ἔφης, Πατροκλῆ' ἐξεναρίζων,
σῶς ἔσσεσθ', ἐμὲ δ' οὐδὲν ὀπίζεο νόσφιν ἐόντα.
Νήπιε, τοῖο δ' ἄνευθεν ἀοσσητὴρ μέγ' ἀμείνων
νηυσὶν ἔπι γλαφυρῇσιν ἐγὼ μετόπισθε λελείμμην,
ὅς τοι γούνατ' ἔλυσα· σὲ μὲν κύνες ἠδ' οἰωνοὶ
ἑλκήσουσ' ἀϊκῶς, τὸν δὲ κτεριοῦσιν Ἀχαιοί.
Τὸν δ' ὀλιγοδρανέων προσέφη κορυθαίολος Ἕκτωρ·
λίσσομ' ὑπὲρ ψυχῆς καὶ γούνων, σῶν τε τοκήων,
μή με ἔα παρὰ νηυσὶ κύνας καταδάψαι Ἀχαιῶν·
ἀλλὰ σὺ μὲν χαλκόν τε ἅλις χρυσόν τε δέδεξο,
δῶρα, τά τοι δώσουσι πατὴρ καὶ πότνια μήτηρ·
σῶμα δὲ οἴκαδ' ἐμὸν δόμεναι πάλιν, ὄφρα πυρός με
Τρῶες καὶ Τρώων ἄλοχοι λελάχωσι θανόντα.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς [Ἀχιλλεύς·
μή με, κύον, γούνων γουνάζεο, μηδὲ τοκήων·
αἲ γάρ πως αὐτόν με μένος καὶ θυμὸς ἀνείη,
ὤμ' ἀποταμνόμενον κρέα ἔδμεναι, οἷά μ' ἔοργας·
ὣς οὐκ ἔσθ' ὃς σῆς γε κύνας κεφαλῆς ἀπαλάλκοι·

οὐδ' εἴ κεν δεκάκις τε καὶ εἰκοσινήριτ' ἄποινα
στήσωσ' ἐνθάδ' ἄγοντες, ὑπόσχωνται δὲ καὶ ἄλλα·
οὐδ' εἴ κέν σ' αὐτὸν χρυσῷ ἐρύσασθαι ἀνώγοι
Δαρδανίδης Πρίαμος· οὐδ' ὣς σέγε πότνια μήτηρ
ἐνθεμένη λεχέεσσι γοήσεται, ὃν τέκεν αὐτή,
ἀλλὰ κύνες τε καὶ οἰωνοὶ κατὰ πάντα δάσονται.
Τὸν δὲ καταθνήσκων προσέφη κορυθαίολος Ἕκτωρ·
ἦ σ' εὖ γιγνώσκων προτιόσσομαι, οὐδ' ἄρ' ἔμελλον
πείσειν· ἦ γὰρ σοίγε σιδήρεος ἐν φρεσὶ θυμός.
Φράζεο νῦν, μή τοί τι θεῶν μήνιμα γένωμαι,
ἤματι τῷ, ὅτε κέν σε Πάρις καὶ Φοῖβος Ἀπόλλων,
ἐσθλὸν ἐόντ', ὀλέσωσιν ἐνὶ Σκαιῇσι πύλῃσιν.
Ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψεν·
ψυχὴ δ' ἐκ ῥεθέων πταμένη Ἄϊδόςδε βεβήκει,
ὃν πότμον γοόωσα, λιποῦσ' ἀδροτῆτα καὶ ἥβην.
Τὸν καὶ τεθνηῶτα προσηύδα δῖος Ἀχιλλεύς·
Τέθναθι· Κῆρα δ' ἐγὼ τότε δέξομαι, ὁππότε κεν δὴ
Ζεὺς ἐθέλῃ τελέσαι ἠδ' ἀθάνατοι θεοὶ ἄλλοι.
Ἦ ῥα, καὶ ἐκ νεκροῖο ἐρύσσατο χάλκεον ἔγχος·
καὶ τόγ' ἄνευθεν ἔθηχ', ὁ δ' ἀπ' ὤμων τεύχε' ἐσύλα
αἱματόεντ'· ἄλλοι δὲ περίδραμον υἷες Ἀχαιῶν,
οἳ καὶ θηήσαντο φυὴν καὶ εἶδος ἀγητὸν
Ἕκτορος· οὐδ' ἄρα οἵ τις ἀνουτητί γε παρέστη.

ILIADIS XXIII.

Patroclus immenso dolore lugetur ab Achille, cui anima ejus in somniis apparet.

Μυρμιδόνας δ' οὐκ εἴα ἀποσκίδνασθαι Ἀχιλλεὺς,
ἀλλ' ὅγε οἷς ἑτάροισι φιλοπτολέμοισι μετηύδα·
Μυρμιδόνες ταχύπωλοι, ἐμοὶ ἐρίηρες ἑταῖροι,
μὴ δή πω ὑπ' ὄχεσφι λυώμεθα μώνυχας ἵππους,
ἀλλ' αὐτοῖς ἵπποισι καὶ ἅρμασιν ἆσσον ἰόντες,
Πάτροκλον κλαίωμεν· ὃ γὰρ γέρας ἐστὶ θανόντων.
Αὐτὰρ ἐπεί κ' ὀλοοῖο τεταρπώμεσθα γόοιο,
ἵππους λυσάμενοι δορπήσομεν ἐνθάδε πάντες·
ὣς ἔφαθ'· οἱ δ' ᾤμωξαν ἀολλέες· ἦρχε δ' Ἀχιλλεύς.
Οἱ δὲ τρὶς περὶ νεκρὸν ἐΰτριχας ἤλασαν ἵππους,
μυρόμενοι· μετὰ δέ σφι Θέτις γόου ἵμερον ὦρσεν.
Δεύοντο ψάμαθοι, δεύοντο δὲ τεύχεα φωτῶν
δάκρυσι· τοῖον γὰρ πόθεον μήστωρα φόβοιο.
Τοῖσι δὲ Πηλείδης ἀδινοῦ ἐξῆρχε γόοιο,
χεῖρας ἐπ' ἀνδροφόνους θέμενος στήθεσσιν ἑταίρου·
Χαῖρέ μοι, ὦ Πάτροκλε, καὶ εἰν Ἀΐδαο δόμοισιν·
πάντα γὰρ ἤδη τοι τελέω, τὰ πάροιθεν ὑπέστην,
Ἕκτορα δεῦρ' ἐρύσας δώσειν κυσὶν ὠμὰ δάσασθαι,
δώδεκα δὲ προπάροιθε πυρῆς ἀποδειροτομήσειν

Τρώων ἀγλαὰ τέκνα, σέθεν κταμένοιο χολωθείς.
Ἦ ῥα, καὶ Ἕκτορα δῖον ἀεικέα μήδετο ἔργα,
πρηνέα πὰρ λεχέεσσι Μενοιτιάδαο τανύσσας
ἐν κονίῃς· οἱ δ᾽ ἔντε᾽ ἀφωπλίζοντο ἕκαστος
χάλκεα, μαρμαίροντα, λύον δ᾽ ὑψηχέας ἵππους·
καδ δ᾽ ἷζον παρὰ νηΐ ποδώκεος Αἰακίδαο,
μυρίοι· αὐτὰρ ὁ τοῖσι τάφον μενοεικέα δαίνυ.
Πολλοὶ μὲν βόες ἀργοὶ ὀρέχθεον ἀμφὶ σιδήρῳ,
σφαζόμενοι, πολλοὶ δ᾽ ὄϊες καὶ μηκάδες αἶγες·
πολλοὶ δ᾽ ἀργιοδόντες ὕες, θαλέθοντες ἀλοιφῇ,
εὑόμενοι τανύοντο διὰ φλογὸς Ἡφαίστοιο·
πάντῃ δ᾽ ἀμφὶ νέκυν κοτυλήρυτον ἔῤῥεεν αἷμα.
Αὐτὰρ τόνγε ἄνακτα ποδώκεα Πηλείωνα
εἰς Ἀγαμέμνονα δῖον ἄγον βασιλῆες Ἀχαιῶν,
σπουδῇ παρπεπιθόντες, ἑταίρου χωόμενον κῆρ.
Οἱ δ᾽ ὅτε δὴ κλισίην Ἀγαμέμνονος ἷξον ἰόντες,
αὐτίκα κηρύκεσσι λιγυφθόγγοισι κέλευσαν
ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν· εἰ πεπίθοιεν
Πηλείδην, λούσασθαι ἄπο βρότον αἱματόεντα.
Αὐτὰρ ὅγ᾽ ἠρνεῖτο στερεῶς, ἐπὶ δ᾽ ὅρκον ὄμοσσεν·
Οὐ μὰ Ζῆν᾽, ὅστις τε θεῶν ὕπατος καὶ ἄριστος,
οὐ θέμις ἐστὶ λοετρὰ καρήατος ἆσσον ἱκέσθαι,
πρίν γ᾽ ἐνὶ Πάτροκλον θέμεναι πυρὶ, σῆμά τε χεῦαι,

κείρασθαί τε κόμην· ἐπεὶ οὔ μ' ἔτι δεύτερον ὧδε
ἵξετ' ἄχος κραδίην, ὄφρα ζωοῖσι μετείω.
Ἀλλ' ἤτοι νῦν μὲν στυγερῇ πειθώμεθα δαιτί·
ἠῶθεν δ' ὄτρυνον, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
ὕλην τ' ἀξέμεναι, παρά τε σχεῖν, ὡς ἐπιεικὲς
νεκρὸν ἔχοντα νέεσθαι ὑπὸ ζόφον ἠερόεντα·
ὄφρ' ἤτοι τοῦτον μὲν ἐπιφλέγῃ ἀκάματον πῦρ
θᾶσσον ἀπ' ὀφθαλμῶν, λαοὶ δ' ἐπὶ ἔργα τράπωνται.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο.
Ἐσσυμένως δ' ἄρα δόρπον ἐφοπλίσσαντες ἕκαστοι
δαίνυντ', οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
οἱ μὲν κακκείοντες ἔβαν κλισίηνδε ἕκαστος.
Πηλεΐδης δ' ἐπὶ θινὶ πολυφλοίσβοιο θαλάσσης
κεῖτο βαρυστενάχων, πολέσιν μετὰ Μυρμιδόνεσσιν,
ἐν καθαρῷ, ὅθι κύματ' ἐπ' ἠϊόνος κλύζεσκον·
εὖτε τὸν ὕπνος ἔμαρπτε, λύων μελεδήματα θυμοῦ,
νήδυμος ἀμφιχυθείς· μάλα γὰρ κάμε φαίδιμα γυῖα
Ἕκτορ' ἐπαΐσσων προτὶ Ἴλιον ἠνεμόεσσαν.
Ἦλθε δ' ἐπὶ ψυχὴ Πατροκλῆος δειλοῖο,
πάντ' αὐτῷ, μέγεθός τε καὶ ὄμματα κάλ', εἰκυῖα,
καὶ φωνήν, καὶ τοῖα περὶ χροῒ εἵματα ἕστο·

στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς καί μιν πρὸς μῦθον ἔειπεν·
«Εὕδεις, αὐτὰρ ἐμεῖο λελασμένος ἔπλευ, Ἀχιλλεῦ;
οὐ μέν μευ ζώοντος ἀκήδεις, ἀλλὰ θανόντος·
θάπτε με ὅττι τάχιστα, πύλας Ἀΐδαο περήσω.
Τῆλέ με εἴργουσι ψυχαὶ, εἴδωλα καμόντων,
οὐδέ μέ πω μίσγεσθαι ὑπὲρ ποταμοῖο ἐῶσιν·
ἀλλ' αὔτως ἀλάλημαι ἀν' εὐρυπυλὲς Ἄϊδος δῶ.
Καί μοι δὸς τὴν χεῖρ', ὀλοφύρομαι· οὐ γὰρ ἔτ' αὖτις
νίσσομαι ἐξ Ἀΐδαο, ἐπήν με πυρὸς λελάχητε.
Οὐ μὲν γὰρ ζωοί γε φίλων ἀπάνευθεν ἑταίρων
βουλὰς ἑζόμενοι βουλεύσομεν· ἀλλ' ἐμὲ μὲν Κὴρ
ἀμφέχανε στυγερὴ, ἥπερ λάχε γεινόμενόν περ·
καὶ δὲ σοὶ αὐτῷ μοῖρα, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
τείχει ὕπο Τρώων εὐηγενέων ἀπολέσθαι.
Ἄλλο δέ τοι ἐρέω χαὶ ἐφήσομαι, αἴ κε πίθηαι.
Μὴ ἐμὰ σῶν ἀπάνευθε τιθήμεναι ὀστέ', Ἀχιλλεῦ·
ἀλλ' ὁμοῦ, ὡς ἐτράφημεν ἐν ὑμετέροισι δόμοισιν,
εὖτέ με τυτθὸν ἐόντα Μενοίτιος ἐξ Ὀπόεντος
ἤγαγεν ὑμέτερόνδ', ἀνδροκτασίης ὕπο λυγρῆς,
ἤματι τῷ, ὅτε παῖδα κατέκτανον Ἀμφιδάμαντος,
νήπιος, οὐκ ἐθέλων, ἀμφ' ἀστραγάλοισι χολωθείς·
ἔνθα με δεξάμενος ἐν δώμασιν ἱππότα Πηλεὺς,
ἔτραφέ τ' ἐνδυκέως, καὶ σὸν θεράποντ' ὀνόμηνεν·

ὡς δὲ καὶ ὀστέα νῶϊν ὁμὴ σορὸς ἀμφικαλύπτοι,
χρύσεος ἀμφιφορεὺς, τόν τοι πόρε πότνια μήτηρ.»
Τὸν δὲ ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀ-
[χιλλεύς·
Τίπτε μοι, ἠθείη κεφαλὴ, δεῦρ' εἰλήλουθας,
καί μοι ταῦτα ἕκαστ' ἐπιτέλλεαι; αὐτὰρ ἐγώ τοι
πάντα μάλ' ἐκτελέω καὶ πείσομαι ὡς σὺ κελεύεις.
Ἀλλά μοι ἆσσον στῆθι· μίνυνθά περ ἀμφιβαλόντε
ἀλλήλους, ὀλοοῖο τεταρπώμεσθα γόοιο.
Ὣς ἄρα φωνήσας ὠρέξατο χερσὶ φίλησιν,
οὐδ' ἔλαβε· ψυχὴ δὲ κατὰ χθονὸς ἠΰτε καπνὸς
ᾤχετο τετριγυῖα. Ταφὼν δ' ἀνόρουσεν Ἀχιλλεὺς,
χερσί τε συμπλατάγησεν, ἔπος δ' ὀλοφυδνὸν ἔειπεν·
Ὢ πόποι, ἦ ῥά τίς ἐστι καὶ εἰν Ἀΐδαο δόμοισιν
ψυχὴ καὶ εἴδωλον· ἀτὰρ φρένες οὐκ ἔνι πάμπαν.
Παννυχίη γάρ μοι Πατροκλῆος δειλοῖο
ψυχὴ ἐφεστήκει γοόωσά τε μυρομένη τε,
καί μοι ἕκαστ' ἐπέτελλεν· ἔϊκτο δὲ θέσκελον αὐτῷ.
Ὣς φάτο· τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο·
μυρομένοισι δὲ τοῖσι φάνη ῥοδοδάκτυλος Ἠὼς
ἀμφὶ νέκυν ἐλεεινόν.



